Ἀξιοῦμεν οὖν προνοίᾳ τοῦ μεγαλοπρεπεστάτου ἐπάρχου τῆς νέας Ρώμης κωλύεσθαι τοὺς κατὰ τῶν ὀρθοδόξων ἐπανισταμένους καὶ προφάσει δικαιολογιῶν, ὡς φάσιν, ἐπιχειροῦντας κατά τινος, ἕως ὅτε τὰ τῆς πίστεως διόρθωσιν λάβοι. Εἰ παρακούσετε, ἡμῶν ἀμελήσαντες, διαμαρτυρόμεθα ὑμῖν ἐνώπιον τοῦ βασιλέως τῶν αἰώνων, ἀφθάρτου, ἀοράτου, μόνου σοφοῦ Θεοῦ, τοῦ ἐλθόντος καὶ ἐπιφανέντος, ὡς ἠθέλησε διὰ τὴν σωτηρίαν ἡμῶν, καὶ πάλιν ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς, ᾧ κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται αὐτῷ, ὅτι ἀθῷοι ἐσμέν· ἡμεῖς γάρ ὑμᾶς παρακαλέσαμεν περὶ συνόδου Οἰκουμενικῆς τῆς δυναμένης ἀκριβῶς κρατῦναι καὶ ἀνορθῶσαι τὰ σαλευόμενα, εἴτουν καταρραγέντα οὐ κατισχύ-

σουσι δὲ αὐτῆς, διὰ τῆς χάριτος καὶ ἀντιλήψεως τοῦ Θεοῦ τῆς ἐνεργούσης ἐν ἡμῖν, κακῶσαι πύλαι ἅδου, ἃ τινά ἐστι τὰ στόματα τῶν αἱρετικῶν, ἵνα τούτου τυχόντες, τὰς συνήθεις εὐχὰς ἐν ὁστως καὶ ὀρθοδόξως τῷ Θεῷ ἀναπέμπωμεν. Ἀμήν». ΜΗΛΙΑ Α΄, σ. 462 - 4.

Βασιλεῖ Θεοφιλεστάτῳ καὶ εὐσεβεστάτῳ ἐκ Θεοῦ Αὐγούστῳ καὶ αὐτοκράτορι Φλαβίῳ Ἀναστασίῳ τῷ φιλοχρίστῳ δέησις καὶ ἱκεσία παρὰ Θεοδοσίου καὶ Σάββα τῶν ἀρχιμανδριτῶν καὶ λοιπῶν ἡγουμένων καὶ μοναχῶν ἁπάντων τῶν τὴν ἁγίαν τοῦ Θεοῦ πόλιν καὶ πᾶσαν τὴν περὶ αὐτὴν ἔρημον καὶ τὸν Ἰορδάνην κατοικούντων (*).

2

Ὁ παμβασιλεὺς τῶν ἁπάντων Θεὸς καὶ δεσπότης Ἰησοῦς Χριστὸς ὁ μονογενὴς τοῦ Θεοῦ υἱὸς τὰ σκῆπτρα τῆς ἐπὶ πάντων μετ' αὐτὸν βασιλείας τῷ θεοφιλεῖ ὑμῶν κατεπίστευσεν κράτει τὸ μέγα τῆς εἰρήνης ἀγαθὸν διὰ τῆς ὑμῶν εὐσεβείας πάσαις μὲν ταῖς ἁγιωτάτας αὐτοῦ ἐκκλησίαις, ἐξαιρέτως δὲ τῇ μητρὶ τῶν ἐκκλησιῶν Σιὼν βραβεῦσαι βουλόμενος, ἐν ᾗ τὸ μέγα τῆς εὐσεβείας ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας φανερωθὲν καὶ τελειωθὲν μυστήριον ἀρχόμενον ἀπὸ Ἱερουσαλὴμ διὰ τοῦ θείου καὶ εὐαγγελικοῦ κηρύγματος εἰς πάντα τὰ πέρατα τῆς γῆς τὸ φῶς τῆς ἀληθείας ἀνέτειλεν· τούτου τοῦ τιμίου καὶ ὑπερφυοῦς κατὰ Χριστοῦ μυστηρίου διὰ τοῦ γικοποιοῦ καὶ τιμίου Σταυροῦ καὶ τῆς ζωοποιοῦ Ἀναστάσεως, ἔτι μὴν καὶ πάντων τῶν ἁγίων καὶ προσκυνουμένων τόπων τὴν ἀληθῆ καὶ ἀφαντασίαστον ὁμολογίαν καὶ πίστιν ἄνωθεν καὶ ἐξ ἀρχῆς διὰ τῶν μακαρίων καὶ ἁγίων ἀποστόλων παραλαβόντες ἅπαντες οἱ τῆς ἁγίας γῆς ταύτης οἰκήτορες, ἄτρωτον καὶ ἀπαρεγχείρητον, ἐν Χριστῷ διεφυλάξαμεν καὶ εἰς ἀεὶ Θεοῦ χάριτι διαφυλάξομεν μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων κα-

* Βλέπε σχετικῶς κεφ. Γ' τοῦ Α' Μέρους.

τὰ τὰς ἀποστολικὰς παραινέσεις, μήτε μὴν περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ τῶν ψυχοφθόροις καὶ ἀπατηλοῖς σοφίσμασιν ἐξαπατώντων τὰς καρδίας τῶν ἀκάκων καὶ τὸ καθαρὸν καὶ ἄδολον τῆς ὀρθῆς πίστεως νᾶμα τῇ ἑαυτῶν κακοδοξίᾳ συνταραττομένων.

Ἐν αὐτῇ τῇ ἁγίᾳ καὶ ἀμωμήτῳ πίστει τῆς φιλοχρίστου ὑμῶν βασιλείας Θεοῦ χάριτι τεχθείσης καὶ τραφείσης καὶ πάσης σχεδὸν τῆς ὑφηλίου τὸ κράτος θεόθεν, καθὼς πιστεύομεν δεξαμένης, θαυμάζομεν πῶς ἐπὶ τῶν θεοφιλῶν καιρῶν τῆς ὑμετέρας βασιλείας τάραχος τοσοῦτος καὶ κλόνος κατὰ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως Ἱερουσαλήμ ἐπεχύθη, εἰς τοσαύτην ὑπερβολὴν ἐκταθεὶς, ὡς καὶ τὴν μητέρα πασῶν τῶν ἐκκλησιῶν Σιὼν καὶ τὴν ἁγίαν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἀνάστασιν, τὸ καταφύγιον καὶ φυγαδευτήριον πάντων τῶν ἀδικουμένων ἐκ παντὸς τοῦ κόσμου καὶ σωτηρίας ἐπιδεομένων, δημοσίαν ἀγορὰν καὶ κοινὸν τόπον γενέσθαι, τῆς εἰς τύπον καὶ τόπον Θεοῦ προκαθημένης ἱερωσύνης καὶ τῶν περὶ αὐτὴν τελούντων λειτουργῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν τὸν μονήρη βίον ἀναδεδεγμένων ἐν ὄψεσιν ἐθνικῶν Ἰουδαίων τε καὶ Σαμαρειτῶν ἐξ αὐτῆς τῆς ἁγίας Σιὼν καὶ τῆς προσκυνητῆς Ἀναστάσεως φανερῶς μετὰ βίας ἐξωθουμένων καὶ εἰς βεβήλους καὶ ἀκαθάρτους τόπους διὰ μέσης τῆς πόλεως κατασυρομένων καί τινα πρὸς βλάβην τῆς πίστεως ποιεῖν ἀναγκαζομένων, ὡς ἐντεῦθεν λοιπὸν καὶ τοὺς εὐχῆς χάριν παραγινομένους τε καὶ παραγενομένους ἀντὶ ὠφελείας τε καὶ οἰκοδομῆς σκανδάλων πληρουμένους εἰς τὰς ἰδίας ἐπανιέναι πατρίδας. Εἰ τοίνυν πίστεως ἕνεκεν ταῦτα πάντα κατὰ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως Ἱερουσαλήμ κινεῖται, τοῦ ὀφθαλμοῦ καὶ φωστῆρος πάσης τῆς οἰκουμένης, τῆς τὸν τοῦ ε ὐ α γ γ ε λ ί ο υ λόγον δεξαμένης, εἴπερ κατὰ τὸ προφητικὸν ἐκεῖνο λόγιον ἐκ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ οἱονεὶ χερσὶν οἰκείαις καθ' ἑκάστην τὴν ἀλήθειαν ψηλαφῶντες οἱ ταύτης οἰκήτορες δι' αὐτῶν τῶν σεβασμίων τόπων, ἐν οἷς τὸ τῆς ἐνανθρωπήσεως τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπράχθη μυστήριον· πῶς οὖν μετὰ πεντακόσια καὶ περαιτέρω τῆς τοῦ Χριστοῦ παρουσίας ἔτη οἱ Ἱεροσολυμῖται πίστιν μανθάνομεν; Ὅθεν ἀσφαλῶς ἔστιν γνῶναι ὅτι ἡ ἐπαγομένη δῆθεν νυνὶ τῇ προτέρᾳ κατὰ Χριστὸν πίστει διόρθωσις οὐ τοῦ ἀληθινοῦ

Χριστοῦ, ἀλλὰ τοῦ ἀντιχρίστου καθέστηκεν διδαχὴ τοῦ τὴν ἕνωσιν καὶ εἰρήνην τῶν ἐκκλησιῶν τοῦ Θεοῦ συγχέειν σπουδάζοντος καὶ ταραχῆς καὶ ἀκαταστασίας τὰ πάντα πληρώσαντος.

Τούτων δὲ ἁπάντων ἀρχηγὸς καὶ αὐτουργὸς καθέστηκεν ὁ ἄνωθεν καὶ ἐξ ἀρχῆς Ἀκέφαλος καὶ ἀποσχίστης Σευῆρος, ὁ τῆς Ἀντιοχέων πρόεδρος, ἐπ' ὀλέθρῳ τῆς οἰκείας ψυχῆς καὶ τῆς κοινῆς πολιτείας κατὰ Θεοῦ συγχώρησιν διὰ τὰς ἁμαρτίας ἡμῶν προβληθεὶς καὶ τοὺς ἁγίους πατέρας ἡμῶν ἀναθεματίσας τοὺς τὴν ἀποστολικὴν πίστιν τὴν ὁρισθεῖσαν καὶ παραδοθεῖσαν ἡμῖν διὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων διὰ πάντων βεβαιώσαντας καὶ ἐν αὐτῇ πάντας φωτίζοντας· οὗπερ Ἀκεφάλου τὴν κοινωνίαν καὶ ἕνωσιν ἀποφεύγοντες καὶ παντελῶς ἀπαρνούμενοι, δεόμεθα τῆς ὑμετέρας εὐσεβείας, κατελεῆσαι τὴν μητέρα τῶν ἐκκλησιῶν πασῶν Σιών, τὴν ὑπερασπίζουσαν τοῦ θεοφιλοῦς ὑμῶν κράτους οὕτως ἀτίμως ὑβριζομένην καὶ πορθουμένην, καὶ θεσπίσαι καταξιώσατε, ὥστε παντελῶς κωλυθῆναι τὸν ἐπικείμενον τῇ ἁγίᾳ τοῦ Θεοῦ πόλει χειμῶνα. Ζωῆς γὰρ καὶ θανάτου κειμένων ἐν τῷ περὶ πίστεως λόγῳ ὁ θάνατος ἡμῖν ἐστιν προτιμότερος.

Τῶν γὰρ ἐχθρῶν τῆς ἐκκλησίας τοῦ Θεοῦ καὶ τῶν περὶ αὐτοὺς ματαίων ἀναθεμάτων καθ' οἱονδήποτε τρόπον ἢ λόγον οὐδ' ὅλως κοινωνοὶ γενησόμεθα τὴν ἀποστολικὴν σὺν Θεῷ κατέχοντες πίστιν, ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ἓν φρόνημα καὶ μίαν πίστιν ἔχοντες ἅπαντες σὺν Θεῷ οἱ τῆς ἁγίας γῆς ταύτης οἰκήτορες, τέσσαράς τε ἁγίας συνόδους εὐαγγελικῷ χαρακτῆρι τετιμημένας ὁμοδόξους ἐν ἑνὶ πνεύματι καὶ φρονήματι ἀσμένως δεξάμενοι, τὰς κατὰ διαφόρους καιροὺς καὶ τόπους θείᾳ ἐπιπνοίᾳ συγκροτηθείσας πρὸς τὰς τῶν ὑποκειμένων αἱρέσεων πολυσχιδεῖς πλάνας, λέξεσι μόνον καὶ οὐ δυνάμει τὸ διάφορον ἐχούσας, ὥσπερ ἡ τῶν θεοχαράκτων εὐαγγελίων εἰκών τε καὶ δύναμις. Τούτων τῶν ἁγίων συνόδων προλάμπει καὶ ὑπέρκειται ὁ μνημονευθεὶς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων χορὸς ἐν Νικαίᾳ κατὰ τοῦ ἀθεωτάτου Ἀρείου συνελθών, ᾧ κατὰ πάντα ἐξηκολούθησαν καὶ αἱ λοιπαὶ τρεῖς ἅγιαι σύνοδοι, τουτέστιν ἡ τῶν ἑκατὸν πεντήκοντα κατὰ τοῦ πνευματομάχου Μακεδονίου συνελθοῦσα καὶ ἡ ἐν Ἐφέσῳ μετ' ἐκείνους κατὰ τοῦ ἐπαράτου καὶ ἀνθρωπολάτρου Νεστορίου συναθροισθεῖσα, ὁμοίως

δὲ καὶ ἡ μετ' αὐτοὺς ἐν τῇ Χαλκηδονέων πόλει συνδραμοῦσα ἐπὶ βεβαιώσει τοῦ κατὰ τοῦ δυσσεβοῦς Νεστορίαυ ἀναθέματος καὶ ἐκβολῇ καὶ ἀναθεματισμῷ τοῦ ἀσεβοῦς Εὐτυχοῦς. Διὰ τούτων τῶν ἁγίων τεσσάρων συνόδων τὴν μονογενῆ καὶ ἀποστολικὴν πίστιν, καθὼς πολλάκις εἴρηται, δεξαμένων πάντων ἡμῶν τῶν τῆς ἁγίας γῆς ταύτης οἰκητόρων καὶ ἐν αὐτῇ σὺν Θεῷ ἐστηριγμένων, παντὶ τῷ μὴ οὕτως φρονοῦντι καὶ ταύταις πειθαρχοῦντι, οὐδεὶς ἡμᾶς καθ' οἷον δήποτε τρόπον ἑνῶσαι δυνήσεται, κἂν μύριοι θάνατοι πρόκειυται.

Πληροφορίας δὲ ἕνεκεν τοῦ ὑμετέρου κράτους καὶ τοῦτο τοῖς εἰρημένοις προσθήσωμεν, ὡς ἀνάθεμα ἔσται μετὰ πάσης αἱρέσεως ἀπὸ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Νεστόριος καὶ πᾶς ὁ τὰ ἐκείνου φρονῶν, ἢ τὸν ἕνα Κύριον Ἰησοῦν Χριστόν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ τὸν ὑπὲρ ἡμῶν σταυρωθέντα Υἱοὺς δύο ἐγνοῶν, ἢ ὁ τὴν θείαν τε καὶ ἀπερινόητον ἕνωσιν εἰς δύο φύσεις ἀνὰ μέρος μερίζων, ἢ ὁ ταῖς τοιαύταις φρενοβλαβείαις καθ' οἷον δήποτε τρόπον ἢ λόγον τιθέμενος· ἀνάθεμα δὲ σὺν αὐτῷ καὶ Εὐτυχεῖ τῷ τὴν θείαν οἰκονομίαν κατὰ φαντασίαν ἢ τροπὴν εἰσάγοντι τήν τε διαφορὰν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ ἑνὸς καὶ μόνου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἐν τῇ ἀδιαιρέτῳ καὶ ἀσυγχύτῳ καθ' ὑπόστασιν ἑνώσει ἀναθεματίσαντι καὶ παντελῶς ἀρνησαμένῳ σὺν αὐτῷ τε τῷ ἀσεβεῖ Νεστορίῳ ἀναθεματισθέντι ὑπὸ τῶν μνημονευθέντων ἁγίων πατέρων.

Ταύτην τὴν ἔγγραφον πληροφορίαν καὶ δέησιν δεξαμένην εὐμενῶς ἡ ὑμετέρα γαληνότης παρὰ τῆς πάντων ἡμῶν ταπεινότητος θεσπίσαι καταξιώσει λωφῆσαι λοιπὸν τὰ τολμώμενα ἐφ' ἑκάστης κακὰ καὶ τὰς συνεχεῖς ἀκαταστασίας κατὰ τῆς ἁγίας τοῦ Θεοῦ ταύτης πόλεως καὶ τοῦ ὁσιωτάτου ἡμῶν ἀρχιεπισκόπου Ἰωάννου διὰ τῶν ἐχθρῶν τῆς ἀληθείας ὀνόματι δῆθεν τῆς ὑμῶν εὐσεβείας, πεπεισμένον τὸ ὑμέτερον κράτος ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ὡς κατ' οὐδένα τρόπον ἢ λόγον τὴν πρὸς τοὺς εἰρημένους Ἀποσχιστὰς ἕνωσιν καταδεχόμεθα ἄνευ ἐνθέσμου καὶ κανονικῆς κρίσεως, οὔτε μὴν καινοτομία τινὶ περὶ πίστεως καθ' οἷον δήποτε λόγον συντιθέμεθα, ἢ πρόσωπον τῶν Ἀκεφάλων ἐν οἵῳ δήποτε καιρῷ κατὰ βίαν χειροτονούμενον καταδεξόμεθα.

Εἰ δέ τι τοιοῦτον διὰ τὰς ἁμαρτίας ἡμῶν συμβαίη, πληροφοροῦμεν ἐνώπιον τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τὴν ὑμετέραν εὐσέβειαν, ὡς τὰ αἵματα πάντων ἡμῶν προθύμως ἐκχέηται καὶ πάντες οἱ ἅγιοι τόποι πυρὶ ἀναλίσκονται, πρὶν ἄν τι τοιοῦτον ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ταύτῃ πόλει γένηται. Τὶ γάρ ὄφελος τῆς ψιλῆς τῶν ἁγίων τόπων προσηγορίας, οὕτως αὐτῶν πορθουμένων καὶ ἀτιμαζομένων;

Ἡ δὲ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν καὶ παύσει τὰ κατ' αὐτῆς ἐπικείμενα σκάνδαλα νεύματι τοῦ ὑμετέρου κράτους εἰς δόξαν αὐτοῦ καὶ καύχημα τῆς θεοφιλοῦς ὑμῶν βασιλείας». (SAC, Vol III, p. 152 - 7)

Λίβελλος τῶν Μοναχῶν πρὸς τὴν ἐνδημοῦσαν σύνοδον, ὥτινι συνέζευκται καὶ ὅπως ἐκηρύχθησαν αἱ τέσσαρες ἐν τῇ Ἐκκλησίᾳ σύνοδοι (*).

3

Τοῖς θεοφιλεστάτοις καὶ ὁσιωτάτοις πατράσι καὶ ἐπισκόποις Θεοφίλῳ, Βασιλίσκῳ, Ἀναστασίῳ, Μαρκιανῷ, Θεοδότῳ, Ὑπατίῳ, Θεοδώρῳ, Ἰωάννῃ, Πυθαγόρᾳ καὶ τῇ λοιπῇ εὐαγεῖ συνόδῳ ἐνδημούσῃ κατὰ ταύτην τὴν βασιλίδα πόλιν παρὰ Ἀλεξάνδρου, Κώνστα, Διογένους, Εὐηθίου, Ἀντωνίου, Ἀκακίου, Ἰωάννου, Δόμνου, Λεοντίου Ἰωάννου, Ἰωάννου, Βασιλίσκου, Βαβύλα, Ὑπατίου Μάρκου καὶ τῶν λοιπῶν πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν τῶν εὐαγῶν Μοναστηρίων τῶν διακειμένων κατὰ τὴν φιλόχριστον καὶ βασιλίδα πόλιν καὶ παντὸς τοῦ Μοναχικοῦ τάγματος.

Μέλει μὲν ἐν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ τῆς πίστεως τῆς ὀρθῆς καὶ τῆς ἄλλης εὐταξίας τῶν ἁγιωτάτων ἐκκλησιῶν καὶ πρὸ τῆς ἡμετέρας αἰτήσεως· ἐπειδὴ δὲ καὶ ἡμᾶς ἔδει μέρος γένεσθαι τῶν εἰς δόξαν Θεοῦ συντελούντων, δίκαιον ἡγησάμεθα πρῶτον μὲν εὐχαριστῆσαι τῷ σκοπῷ τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῷ εὐσεβεῖ ζήλῳ τῶν καλλινίκων ἡμῶν βασιλέων, εἶθ' οὕτως ἐπὶ τὴν παροῦσαν ἰδεῖν δέησιν, δι' ἧς ἀ ξ ι ο ῦ μ ε ν πάντες ἡμεῖς καὶ δι' ἡμῶν ὁ λοιπὸς κατάλογος τῶν εὐλαβεστάτων Μοναχῶν, ὡς ἐκ μιᾶς γνώμης τὰ καλῶς καὶ συμφερόντως κινηθέντα ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ τῆς βασιλίδος ταύτης πόλεως παρὰ τοῦ πιστοτάτου λαοῦ καὶ τὰ προσφωνηθέντα πρὸς τὸν αὐτὸν φιλόχριστον λαὸν παρὰ τοῦ τὰ πάντα ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ταῦτα διὰ φωνῆς τῆς ἁγίας ὑμῶν συνόδου ἐγγράφως δέξασθαι τὸ κῦρος

* Βλέπε σχετικῶς κεφ. Γ' τοῦ Α' Μέρους.

καὶ τοὺς οὐκ ἴσμεν ὅπως ἐξεωθέντας ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένους πατέρας ἡμῶν, φαμὲν Εὐφήμιον καὶ Μακεδόνιον, τούτοις ἐπὶ τοῦ παρόντος δικαίως καὶ κανονικῶς ἀνακληθῆναι καὶ ἀποδοθῆναι τῷ καταλόγῳ τῶν πρὸ αὐτῶν ἐνταῦθα ἐν Κυρίῳ ἀναπαυσαμένων ἀρχιεπισκόπων, πάντων ἀργῶν μενόντων τῶν κατ' αὐτῶν ὁπωσοῦν γενομένων, προστεθῆναι δὲ ταῖς ἁγίαις δέλτοις σὺν αὐτοῖς καὶ τὸ θεοφιλὲς ὄνομα τοῦ τῆς Ρωμαίων ἀρχιεπισκόπου γενομένου Λέοντος. Τὸ δὲ πάντων μέγιστον καὶ πάντας διεγεῖρον πρὸς τὴν ὀρθοδοξίαν, αἰτοῦμεν ὑμᾶς ὁσιώτατοι, ὅπως καὶ τὰς κατὰ καιρὸν ὑπὲρ εὐσεβείας συναθροισθείσας ἁγίας συνόδους ἐντεθῆναι ταῖς αὐταῖς δέλτοις, τουτέστι τήν τε ἐν Νικαίᾳ ἐκφωνήσασαν τὸ ἅγιον σύμβολον, ἐν ᾧ ἐβαπτίσθημεν καὶ βαπτίζομεν, καὶ τὴν ἐν Κων/λει τοῦτο κυρώσασαν καὶ τὴν ἐν Ἐφέσῳ ὁμοίως βεβαιώσασαν καὶ τὴν ἐν Χαλκηδόνι ὡσαύτως ἐπισφραγίσασαν. Πρὸς τούτοις δὲ παρακαλοῦμεν προστεθῆναι καὶ τοῦτο ὥστε καὶ Σεβῆρον τὸν ἄθεσμα κατὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας τολμήσαντα εἰπεῖν ἀναθεματισθῆναι. Ὁμοίως δὲ ἐξαιτοῦμεν καὶ τοὺς διὰ τὴν αἰτίαν τῶν προειρημένων ὁσιωτάτων πατέρων ἐξελαθέντας ἐπισκόπους τε καὶ κληρικοὺς καὶ ἀρχιμανδρίτας καὶ μοναχοὺς καὶ λαϊκούς, τούτους διὰ πρεσβείας ὑμετέρας, γινομένης πρός τε τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον ἡμῶν καὶ οἰκουμενικὸν πατριάρχην Ἰωάννην καὶ τοὺς εὐσεβεστάτους καὶ καλλινίκους ἡμῶν βασιλεῖς, ἐπανακληθῆναι καὶ ἀποδοθῆναι τῇ οἰκείᾳ τάξει. Καὶ ἵνα μὴ εἰς πλῆθος λόγων ἐκτείνωμεν τὰς ἱκετείας, παρακαλοῦμεν τάς τε ἐκβοήσεις παντὸς τοῦ φιλοχρίστου λαοῦ καὶ τὰς προσφωνήσεις γενομένας ἐν τῇ εἰρημένῃ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ παρὰ τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου διὰ ἱερᾶς ἡμῶν φωνῆς καὶ ὑποσημειώσεως καὶ εὐσεβοῦς τύπου τοῦ καλλινίκου ἡμῶν βασιλέως βεβαιωθῆναι. Τὰς δὲ ἐκβοήσεις καὶ προσφωνήσεις ὑπετάξαμεν».

Τὰ ἀνωτέρω ὑπογράφουν 54 ἡγούμενοι καὶ ἀρχιμανδρῖται ἱερῶν Μονῶν τῆς Κων/λεως, ἐξ ὧν παραθέτομεν τέσσαρας χαρακτηριστικοὺς τύπους, ἐκ τῶν ὁποίων ὁ πρῶτος ἀποτελεῖ καὶ τὸν «κλασικὸν» τύπον τοῦ ἀνωτέρω λιβέλλου.

Ἀλέξανδρος ἐλέει Θεοῦ πρεσβύτερος καὶ ἀρχιμαν-

δρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ὑπέγραψα χειρὶ ἐμῇ.

Δ ι ο γ έ ν η ς πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ τῆς ὁσίας μνήμης Θαλασσίου τῶν ἐπίκλην ἀνυποδέτων προτάξας τῇ ἰδίᾳ μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου ὑπέγραψα διὰ Χρηστοῦ ἀναγνώστου διὰ τὸ ἐμὲ γήρᾳ κρατεῖσθαι καὶ μὴ δυνάμενον τὰ ὅλα δι' ἑαυτοῦ ὑπογράψαι.

Β α σ ι λ ί σ κ ο ς πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς ἁγίας Εὐφημίας τῆς ἐν τοῖς Ὀλυβρίου προτάξας τῇ ἰδίᾳ μου χειρὶ τὸν τίμιον σταυρὸν καὶ τὸ ὄνομά μου τὰ λοιπὰ ὑπέγραψα διὰ χειρὸς Ἀνδρονίκου πρεσβυτέρου τοῖσδε τοῖς λιβέλλοις διὰ τὸ ἐμὲ γέροντα εἶναι καὶ τρέμειν.

Ὑ π ά τ ι ο ς ἐλέει Θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ Χαρισίου προτάξας τῇ ἰδίᾳ μου χειρὶ τὸν τίμιον σταυρὸν ὑπέγραψα τοῖσδε τοῖς λιβέλλοις διὰ χειρὸς Ἐλευθερίου διακόνου διὰ τὸ ἐμὲ γράμματα μὴ εἰδέναι.

Ὅπως ἐκηρύχθησαν ἐν τῇ Ἐκκλησίᾳ αἱ σύνοδοι(*).

Εἰσόδου γενομένης κατὰ τὸ σύνηθες ἐν τῇ ἁγιωτάτῃ ἡμῶν μεγάλῃ ἐκκλησίᾳ ἐν ἡμέρᾳ Κυριακῇ τῇ πεντεκαιδεκάτῃ τοῦ ἐνεστῶτος Ἰουλίου μηνὸς τῆς ἑνδεκάτης ἐπινεμήσεως παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου, ὡς οὐκ ἀγνοεῖ καὶ ἡ ὑμετέρα θεοφιλία, ἐν τῷ γενέσθαι αὐτὸν σὺν τῷ εὐαγεῖ κλήρῳ περὶ τὸν ἄμβωνα φωναὶ γεγόνασιν ἀπὸ τοῦ λαοῦ λέγουσαι. «Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστας, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἀκοινώνητοι διὰ τί μένομεν ἐπὶ τοσαῦτα ἔτη; διατὶ οὐ κοινωνοῦμεν; ἐκ τῶν χειρῶν σου κοινωνῆσαι θέλομεν. Ἐὲς ἄνελθε εἰς τὸν ἄμβωνα, ἐὲς πεῖσον τὸν λαόν σου. διὰ

Τὸ κατωτέρω κείμενον, τὸ ὁποῖον ἀποτελεῖ «συνημμένον» τοῦ προηγηθέντος λιβέλλου, ἐνέχει ὅλως ἰδιαιτέραν σημασίαν, ὡς ἐκφράζον ἄριστα: α) Τὴν τοῦ πιστοῦ λαοῦ τῆς Κων/λεως ἀγωνιστικότητα καὶ παρρησίαν πρὸς ὑπεράσπισιν τοῦ ἀθετουμένου ὀρθοδόξου δόγματος, πρᾶγμα ὅπερ μεγάλως θαυμάζων ὁ εὐσεβὴς ἀρχιεπίσκοπος αὐτῶν Ἰωάννης Β' (518-520) οὐδόλως ἐθεώρησεν «ἐξωεκκλησιαστικὴν» ἐνέργειαν, ὡς συνη-

πολλῶν ἐτῶν κοινωνῆσαι θέλομεν. Ὀρθόδοξος εἶ, τίνα φοβῆσαι; ἄξιε τῆς Τριάδος· ἡ ἁγία Μαρία Θεοτόκος ἐστίν. Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστας· Σεβῆρον τὸν Μανιχαῖον ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. Ἀνασκαφῆ τὰ ὀστέα τῶν Μανιχαίων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς Τριάδος, ἡ ἁγία σύνοδος ἄρτι κηρυχθήτω. ἄξιος τῆς τριάδος, ἡ ἁγία Μαρία Θεοτόκος ἐστίν. ἄξιε τοῦ Θρόνου, ἡ ἁγία Μαρία Θεοτόκος ἐστιν· ἡ ἁγία σύνοδος τοῦτο εἶπεν. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. νικᾷ ἡ πίστις τῆς τριάδος, νικᾷ ἡ πίστις τῶν ὀρθοδόξων. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον. ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; Νικᾷ ἡ πίστις τοῦ βασιλέως, νικᾷ ἡ πίστις τῆς αὐγούστας. τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· ἄξιε τῆς τριάδος· Ἰουστῖνε αὔγουστε TVINCAS*· τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη· ἡ ἐξέρχη ἢ κηρύσσεις. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· Ἰουστῖνε Αὔγουστε TVINCAS· τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. Ἰουστῖνος βασιλεύει τίνα φοβῆσαι; Σ ε β ῆ ρ ο ν τὸν Μανιχαῖον ἔξω βάλε. τὴν σύνοδον Χαλκηδόνος ἄρτι κήρυξον. ὁ μὴ ἀναθεματίζον Σεβῆρον Μανιχαῖός ἐστιν. ἀνάθεμα Σεβήρῳ τῷ Μανιχαίῳ. ὁ

θίζουν νὰ πράττουν οἱ σημερινοὶ «ὀρθόδοξοι» ποιμένες, ἀλλ' ἀντιθέτως ἐχαρακτήρισεν ὡς «θείαν» καὶ «οὐρανόθεν κίνησιν τοῦ φ ι λ ο χ ρ ί σ τ ο υ λαοῦ τῆς Κων/λεως»! (SAC, τόμ. III, σ. 76).

6) Τὸν κεντρικὸν ρόλον ποὺ διεδραμάτισε διὰ τὴν γένεσιν καὶ ἐπιτυχίαν τοῦ ἀνωτέρω κινήματος τὸ μοναχικὸν τάγμα, ὅπερ ἀσφαλῶς θὰ ὑπῆρξεν ὁ «θεωρητικὸς» καὶ ὁ «ἐμπνευστὴ» τῆς ἀνωτέρω ἀντιδράσεως τοῦ εὐσεβοῦς ποιμνίου καὶ τῆς ἐν συνεχείᾳ ἀποδοχῆς τῶν σημειωθεισῶν ἐξελίξεων ὑπὸ τῆς ἐνδημούσης συνόδου. Τὸ τελευταῖον εἰκάζεται καὶ ἐκ τῆς ἐπιστολῆς τοῦ ἀνωτέρω ἀρχ/που Ἰωάννου πρὸς τὸν συνάδελφόν του ἀρχιεπίσκοπον τῶν Ἱεροσολύμων Ἰωάννην Γ', πρὸς ὃν ἀναφέρει ὅτι ἡ ἔγγραφος ἀποστολὴ τῶν διαμειφθέντων τὴν 15ην καὶ 16ην Ἰουλίου τοῦ 518 μεταξὺ αὐτοῦ καὶ τοῦ εὐσεβοῦς ποιμνίου του ἀπετέλει «α ἴ τ η σ ι ν π α ν τ ὸ ς τ ο ῦ μ ο ν α χ ι κ ο ῦ τ ά γ μ α τ ο ς» (SAC, αὐτόθι).

Καίτοι τὸ κείμενον αὐτὸ δὲν ἀποτελεῖ προϊὸν μοναχικῆς γραφίδος, ἐν τούτοις ἕνεκα τῶν ἀνωτέρω λόγων τὸ συμπεριελάβομεν εἰς τὴν παροῦσαν συλλογὴν κατ' ἐξαίρεσιν, καὶ ἐλπίζομεν ὅτι, μετὰ τὴν ἀνάγνωσίν του, θέλει δικαιώσει ἡμᾶς διὰ τοῦτο ὁ ἀγαπητὸς ἀναγνώστης.

* Νίκα.

μὴ λαλῶν Μανιχαῖός ἐστι· Σεβῆρον ἔξω βάλε. τὸν νέον Ἰούδα ἔξω βάλε. τὸν ἐπίβουλον τῆς τριάδος ἔξω βάλε. τὴν ἁγίαν σύνοδον ἄρτι κήρυξον· ἐὲς μαρτύρομαι· ἢ κηρύσσεις ἢ ἐξέρχῃ· π ί σ τ ι ς ἐ σ τ ί ν, ο ὐ κ ἔ ν ι θ ε ω ρ ε ῖ ν. ἀδελφοὶ χριστιανοὶ μία ψυχή. Ἰουστῖνε αὔγουστε TVINCAS· εἰ φιλεῖς τὴν πίστιν, Σεβῆρον ἀναθεμάτισον. ἐὲς μαρτύρομαι· ἐὲς σύρω σε, ἐὲς τὰς θύρας κλείω. ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. μαρτύρομαί σε· οὐδὲν παρ' ἐμέ. Ὀρθόδοξος βασιλεύει, τίνα φοβῆσαι; τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη· Σεβῆρον τὸν ἐπίβουλον τῆς Τριάδος ἔξω βάλε, τὸν νέον Ἰούδα ἔξω βάλε· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἐὲς σύναξιν τῇ συνόδῳ, ἐὲς ἄρτι κήρυξον. μὰ τὸ εὐαγγέλιον, οὐδὲν παρ' ἐμέ, ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· Σεβῆρον ἔξω βάλε. πολλὰ τὰ ἔτη τοῦ βασιλέως· ἀδελφοὶ χριστιανοὶ μία ψυχή. πίστις ἐστίν, οὐκ ἔνι ἁπλῶς. ἡ ἁγία Μαρία Θεοτόκος ἐστιν· ταῦτα καὶ ἡ σύνοδος εἶπε».

Ταῦτα αὐτῶν ἐκβοησάντων ἐδόθη αὐτοῖς ἀπόκρισις παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου Ἰωάννου αὕτη· «μακροθυμήσατε, ἀδελφοί, ἵνα πρότερον προσκυνήσωμεν τὸ ἅγιον θυσιαστήριον, καὶ μετὰ τοῦτο δίδωμι ὑμῖν ἀπόκρισιν». Καὶ εἰσελθόντος αὐτοῦ εἰς τὸ ἅγιον θυσιαστήριον ἐπέμειναν κράζοντες· «Πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστας· ἐὲς μαρτύρομαι· οὐκ ἐξέρχῃ, ἐὰν μὴ ἀναθεματίσῃς Σεβῆρον. ἀνάθεμα Σεβήρῳ φανερῶς εἰπέ. ἐὲς ἀπόκλεισον· ἐὲς μαρτύρομαι. πολλὰ τὰ ἔτη τοῦ βασιλέως».

Καὶ λοιπὸν ἀνελθὼν ἐπὶ τοῦ ἄμβωνος ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης προσεφώνησε ταῦτα· «Οἴδατε τοὺς ἐμοὺς ἀγῶνας, ἀγαπητοί, οὓς καὶ ἐν τῷ πρεσβυτερίῳ ὤν ,κατεβαλόμην, καὶ νῦν ἀντεσχόμην τῆς Ὀρθοδοξίας καὶ ἀντέχομαι ἕως θανάτου· οὐ χρεία τοίνυν ταραχῆς ἢ θορύβου· οὔτε γάρ τι παρεβάθη τῆς ὀρθῆς πίστεως οὔτε ἁγίαν σύνοδον τολμᾷ τις ἀναθεματίσαι, ἀλλὰ πάσας τὰς ἁγίας συνόδους τὰς βεβαιωσάσας τὸ ἅγιον σύμβολον τῶν τιη' πατέρων τῶν συνελθόντων κατὰ τὴν Νικαέων ὀρθοδόξους γινώσκομεν καὶ μάλιστα τὰς ἁγίας τρεῖς συνόδους ταύτας, τουτέστι

τὴν ἐν Κων/λει καὶ τὴν ἐν Ἐφέσῳ καὶ τὴν μεγάλην ἐν Χαλκηδόνι. ἰδικῶς γάρ τὸ σύμβολον τῶν τιη' ἁγίων πατέρων, εἰς ὃ βαπτιζόμεθα, αὗται αἱ ἅγιαι τρεῖς σύνοδοι ἐμφρόνως ἐβεβαίωσαν».

Καὶ μετὰ τὴν προσφώνησιν ἐπιμενόντων αὐτῶν ἐπὶ πλείστας ὥρας ταῖς αὐταῖς φωναῖς καὶ προσθέντων. «Οὐ κατέρχῃ, ἐὰν μὴ ἀναθεματίσῃς· πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. ἄξιε τῆς Τριάδος, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὴν σύναξιν τῆς συνόδου Χαλκηδόνος ἄρτι κήρυξον. Οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξῃς. ἕως ὀψὲ ὧδε ἐσμέν. τὴν σύναξιν εἰς τὴν αὔριον κήρυξον. τὴν μνήμην τῶν πατέρων αὔριον κήρυξον. τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριο κήρυξον. σήμερον ἐὰν κηρύξῃς αὔριον ἐπιτελεῖται· οὐκ ἀναχωρῶ, ἐὰν μὴ κηρύξῃς. τοὺς ἀναθεματίσαντας Νεστόριον καὶ Εὐτυχέα εἰς τὴν αὔριον κήρυξον. ἐ ὰν μ ὴ λ ά β ω ἀ πό κ ρ ι σ ι ν, ἕ ω ς ὀ ψ ὲ ὧ δ ε ε ἰ μ ί».

(Καὶ) προσεφώνησεν ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος ἡμῶν καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης οὕτως· «Ἐπειδὴ σύναξιν ἠτήσατε τῶν ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι ἐπιτελεσθῆναι, γινώσκοντες γνώσεσθε ὅτι καὶ τοῦτο ποιήσομεν γνώμῃ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως».

Ἐπιμενότων δὲ αὐτῶν καὶ τὰς αὐτὰς φωνὰς ἐκβοώντων καὶ προσθέντων· «Οὐκ ἀναχωρῶ μὰ τὸ εὐαγγέλιον· τὴν σύναξιν τῶν πατέρων ἄρτι κήρυξον· τῶν ἐν Χαλκηδόνι πατέρων τὴν σύναξιν αὔριον ποίησον», ἐκηρύχθη ἡ σύναξις διὰ Σαμουήλ διακόνου οὕτως· «Γνωρίζομεν τῇ ὑμετέρᾳ ἀγάπῃ ὅτιπερ τὴν αὔριον μνήμην ἐπιτελοῦμεν τῶν ἐν ἁγίοις πατέρων καὶ ἐπισκόπων γενομένων τῶν κατὰ τὴν Χαλκηδονέων μητρόπολιν συναχθέντων καὶ βεβαιωσάντων ἅμα τοῖς ἐν Κων/λει καὶ ἐν Ἐφέσῳ συναχθεῖσιν ἁγίοις πατράσιν τὸ σύμβολον τῶν τιη' ἁγίων πατέρων τῶν συναχθέντων κατὰ τὴν Νικαέων· συναγόμεθα δὲ καὶ ἐνταῦθα».

Καὶ μετὰ τὴν προσφώνησιν τῆς συνάξεως πάλιν ἐπέμεινεν ὁ λαὸς καὶ μιᾷ φωνῇ ἐπὶ πολὺ ἔκραζον· «Σεβῆρος ἄρτι ἀναθεματισθῇ. ὁ ἐπίβουλος τῆς Τριάδος ἄρτι ἀναθεματισθῇ. ὁ κατὰ τῶν πατέρων ἄρτι ἀναθεματισθῇ. ὁ δὲ ἀναθεματίσας τὴν σύνοδον Χαλκηδόνος ἄρτι ἀναθεματισθῇ. οὐκ ἐξέρχομαι, ἐὰν μὴ ἄρτι ἀναθεματισθῇ καὶ ἀπόκρισιν λάβῳ. μαρτύρομαι· ὀρθόδοξος εἶ,

ἄρτι ἀναθεμάτισον· ἢ ἀ ν α θ ε μ ά τ ι σ ο ν· ἢ ο ὐ δ ὲ ν π α ρ᾽ ἐ μ έ».

Καὶ ἐπὶ πολὺ τοῖς αὐτοῖς ἐπιμενόντων αὐτῶν, παρόντων Θεοφίλου τοῦ Θεοφιλεστάτου ἐπισκόπου, τῆς Ἡρακλεωτῶν καὶ Θεοδότου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Γαγγρηνῶν, καὶ Ὑπατίου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Κλαυδιουπολιτῶν, καὶ Ἰωάννου τοῦ Θεοφιλεστάτου ἐπισκόπου Βοσπόρου, καὶ Πυθαγόρου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Σινεπέων, καὶ Ἰσαακίου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Πενταπόλεως τῆς Ἑλλάδος, καὶ Ἰωάννου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Νικοπολιτῶν, καὶ Ἀμμωνίου τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀβυδηνῶν, Πλάτωνος τοῦ Θεοφιλεστάτου ἐπισκόπου τῶν Κρατιανῶν, Εὐσταθίου τοῦ θεοφ. ἐπισκ. τῆς Φιλαδελφέων, καὶ Πελαγίου τοῦ θεοφ. ἐπισκ. τῆς Αἰζανιτῶν καὶ ἑτέρων θεοφιλεστάτων ἐπισκόπων τῶν καὶ συναινούντων τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχ/πῳ καὶ οἰκ. πατριάρχῃ Ἰωάννῃ, προσεφωνήθη ταῦτα: «ὅτι Σεβῆρος χωρίσας ἑαυτὸν τῆς ἁγίας ταύτης Ἐκκλησίας ἑαυτῷ κρίματι ὑπέβαλεν.

Ἑπόμενοι τοίνυν καὶ ἡμεῖς τοῖς θείοις Κανόσι καὶ τοῖς ἁγίοις πατράσιν ἀλλότριον τοῦτον ἡγούμεθα καὶ ὑπὸ τῶν θείων Κανόνων διὰ τῆς βλασφημίας αὐτοῦ κατακριθέντα ἀ ν α θ ε μ α τ ί ζ ο μ ε ν καὶ ἡμεῖς».

Τούτων παρακολουθησάντων τῇ Κυριακῇ τῇ ἑξῆς, ἥτις ἐστὶν ἑκκαιδεκάτη τοῦ Ἰουλίου μηνὸς, ἡμέρᾳ Δευτέρᾳ, ἐπιτελουμένης τῆς μνήμης τῶν προλεχθέντων ἁγίων πατέρων, πάλιν τῆς εἰσόδου γενομένης παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκ. πατριάρχου Ἰωάννου, εὐθέως ἅμα τῷ γενέσθαι αὐτὸν πλησίον τοῦ ἄμβωνος φωναὶ ἦλθοσαν ἀπὸ παντὸς τοῦ λαοῦ οὕτως. «Πολλὰ τὰ ἔτη τοῦ πατριάρχου, πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς Αὐγούστης, τοῦ νέου Κωνσταντίνου πολλὰ τὰ ἔτη, τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· τὸ λείψανον Μακεδονίου τῇ ἐκκλησίᾳ. Ἰουστῖνε αὔγουστε TVINCAS, Εὐφημίᾳ αὐγούστα TVINCAS· τοὺς ἐν ἐξορίᾳ διὰ τὴν πίστιν τῇ ἐκκλησίᾳ. ἀνασκαφῇ τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῇ τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τὶς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀνάθεμα αὐτῷ ἀπὸ τῆς Τριάδος. τὶς ἔνι Νεστόριος, ἐγὼ οὐκ οἶδα· ἀ-

νάθεμα αὐτῷ μετ' Εὐτυχέος· ἀνασκαφῇ τὰ ὀστέα τῶν Νεστοριανῶν, ἀνασκαφῇ τὰ ὀστέα τῶν Εὐτυχιανιστῶν. τοὺς Μανιχαίους ἔξω βάλε. Ἰουστῖνε αὔγουστε TVINCAS· Σεβῆρον τὸν Ἰούδαν ἔξω βάλε. τοὺς Μανιχαίους τῆς ἐκκλησίας ἔξω βάλε. τοὺς δύο Στεφάνους ἔξω βάλε. τὸ λείψανον Μακεδονίου ἄρτι φέρε· τὸ ὄνομα Μακεδονίου ἄρτι ταγῇ. δεόμεθα τὰς ὅλας φωνὰς τῷ βασιλεῖ. τὸν νέον Τζουμᾶν ἔξω βάλε. ὁ νέος Τζουμᾶς Ἀμάντις ἐστί. τὸν λῆρον τοῦ παλατίου ἔξω βάλε. Εὐφήμιον καὶ Μακεδόνιον τῇ ἐκκλησίᾳ. τὰ συνοδικὰ εἰς Ρώμην ἄρτι ἀπέλθωσιν. πολλὰ τὰ ἔτη τοῦ πατριάρχου. τοῦ νέου Ἰωάννου πολλὰ τὰ ἔτη· ἄξιε τῆς Τριάδος. Ἰουστῖνε αὔγουστε TVINCAS, πολλὰ τὰ ἔτη τῆς αὐγούστης· τὸ λείψανον Μακεδονίου τῇ ἐκκλησίᾳ· ἐν τούτοις ἀεὶ νικήσεις. Εὐφημίου καὶ Μακεδονίου τὰ ὀνόματα ἄρτι ταγῇ. τελείαν ἑορτὴν τῇ ἐκκλησίᾳ. Τοὺς ψευδομάρτυρας Μακεδονίου ἔξω βάλε. τὰς τέσσαρας συνόδους τοῖς διπτύχοις. Λέοντα τὸν ἐπίσκοπον Ρώμης τοῖς διπτύχοις. ἡ ἁγία Μαρία Θεοτόκος ἐστί· τοῦτο ἡ σύνοδος εἶπε. τὰ δίπτυχα τῷ ἄμβωνι· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστι. τὰ δίπτυχα τῷ ἄμβωνι ἄρτι, τὸν Θεόν σοι. Ἰουστῖνε αὔγουστε,TVINCAS· κουράτωρα οὐκ ἔχεις, τὰ δίπτυχα ἄρτι φέρε Ἰουστῖνος βασιλεύει, τὰ δίπτυχα ἄρτι φέρε. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη· τῆς νέας Ἑλένης πολλὰ τὰ ἔτη· τοῦ νέου Ἰωάννου πολλὰ τὰ ἔτη· οὕτως ἔχεις τὸν δεσπότην, τὰ δίπτυχα ἄρτι φέρε. οὕτως ἔχεις τὴν αὐγούσταν, τὰ δίπτυχα ἄρτι φέρε. Οὕτως ἔχεις τὴν Τριάδα, τὰ δίπτυχα ἄρτι φέρε· οἱ κανόνες τούτους οὐκ ἐξέβαλαν· ἐὲς τάξον, ἐὲς τάξον, ἐὲς τάξον».

Καὶ προσεφωνήθη ταῦτα· «Καὶ κατὰ τὴν χθὲς ἡμέραν ἀρκούντως ἐπληροφορήσαμεν τὴν ὑμετέραν ἀγάπην, καὶ νῦν δὲ τὸν ζῆλον ὑμῶν σαφῶς ἐπιστάμενοι ἐκεῖνα ἐσπεύσαμεν καὶ σπεύδομεν ποιῆσαι ὅσα καὶ τὸν Θεὸν θεραπεύει καὶ ὑμᾶς διὰ πάντων ἐν πᾶσι πληροφορεῖ, ὅτι δὲ μέλει ἡμῖν τοῦ μηδὲν παρασαλευθῆναι τῆϐ ὀρθῆς πίστεως, οἶμαι, κατὰ διαφόρους χρόνους καὶ τρόπους πείρᾳ παρειληφέναι τὴν ὑμετέραν ἀγάπην. Δι' ὅ καὶ τὸν θεμέλιον τῆς πίστεως καὶ τὴν ἁγίων πατέρων παράδοσιν ἀραγῆ διαμένειν τῇ χάριτι τοῦ δεσπότου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ ἐσπουδάσαμεν, ἐλπίσαντες δι' αὐτῆς καὶ τὰς διεστώσας ἐκκλησίας ἑνῶσαι, πανταχοῦ τὴν τάξιν τῶν θείων Κανόνων ἐνθέσμως κρατοῦν-

τες. οὐδὲ γὰρ ἐγχωρεῖ τι παρασαλεῦσαι καὶ περὶ κενοφωνίας καὶ λεπτολογίας ἀπασχολεῖσθαι τοὺς πιστούς, ἀλλὰ προσέχειν τῷ ἁγίῳ συμβόλῳ, ἐν ᾧ πάντες ἐβαπτίσθημεν, ὅπερ ἐξεφώνησεν ἡ ἐν Νικαίᾳ ἐν ἁγίῳ πνεύματι σύνοδος καὶ ἐκύρωσεν ἡ ἐν Κων/λει τῶν ἁγίων πατέρων συνέλευσις καὶ ἐβεβαίωσεν ἡ ἐν Ἐφέσῳ ὁσία σύνοδος καὶ ἐπεσφράγισεν ὁμοίως ἡ ἐν Χαλκηδόνι ἁγία μεγάλη σύνοδος, ἣν κατ' οὐδένα λόγον ἢ τρόπον παρασαλεῦσαί τις δυνήσεται πᾶσαν ἀναιροῦσαν τοῖς κακοδόξοις πρόφασιν. Ταύτην τοίνυν τὴν πίστιν ἀσάλευτον κρατοῦντες πρὸς ἀλλήλους μὴ ἀμφιβάλητε, ἀλλὰ πᾶσαν κενοφωνίαν καὶ πᾶσαν καινοτομίαν καὶ πᾶσαν λεπτολογίαν ἀπωθούμενοι ἑνὶ στόματι τὴν ἁγίαν καὶ ὁμούσιον τριάδα δοξάσωμεν, ἥτις φυλάττοι ἐν εἰρήνῃ τὴν ζωὴν τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων καὶ πάντων ἡμῶν· τῷ γὰρ Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι πρέπει ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰώνας τῶν αἰώνων ἀμήν».

Ταύτης τῆς προσφωνήσεως γενομένης ἐπέμειναν κράζοντες· «Ἐὰν μὴ ἄρτι, οὐδεὶς ἐκβαίνει· μαρτύρομαί σε, τὰς θύρας κλείω. ἀδελφοὶ ὀρθόδοξοι μία ψυχή· Ἰουστῖνε αὔγουστε TVINCAS· ὁ μὴ λαλῶν Μανιχαῖός ἐστιν. ἅγιος ἅγιος ἅγιος· ἡ τριὰς ἐνίκησεν. ἀπάρτι οὐ φοβῆσαι Ἀμάντιν τὸν Μανιχαῖον. Ἰουστῖνος βασιλεύει, Ἀμάντιν τί φοβῆσαι; ἄξιε τῆς Τριάδος, καὶ τοῦτο τὸ καλόν σοι ἐτηρεῖτο· ὁ φιλῶν τὴν σύνοδον οὕτως τιμᾶται. πολλὰ τὰ ἔτη τοῦ βασιλέως, πολλὰ τὰ ἔτη τῆς αὐγούστης, πολλὰ τὰ ἔτη τοῦ πατριάρχου· νικᾷ ἡ πίστις τῶν ὀρθοδόξων». Καὶ πάλιν ἐπιμενόντων αὐτῶν ἐπὶ πολὺ ταῖς αὐταῖς φωναῖς προσεφωνήθη αὐτοῖς ταῦτα· «Ὅτι διὰ πάντων σπουδὴν ἐθέμεθα θεραπεῦσαι ὑμᾶς καὶ ἀσκανδαλίστους φυλᾶξαι, σαφῶς ἐπίστασθε· ἐπειδὴ δὲ δεῖ πάντα κανονικῶς καὶ μετὰ εὐταξίας γενέσθαι, συγχωρήσατε ἡμῖν συναγαγεῖν τοὺς θεοφιλεστάτους ἐπισκόπους, ἐφ' ᾧ τε κατὰ θείους Κανόνας πάντα προβῆναι γνώμῃ καὶ κελεύσει τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως. τὰς γὰρ ἐκβοήσεις ὑμῶν πάσας ἀνοίσομεν ἐπὶ τὴν αὐτοῦ γαληνότητα».

Καὶ κλεισάντων αὐτῶν τὰς θύρας καὶ ἐπιμενόντων ταῖς αὐταῖς ἐκβοήσεσι λαβὼν τὰ δίπτυχα ὁ ἁγιώτατος καὶ μακαριώτατος ἀρχιεπίσκοπος καὶ οἰκουμενικὸς πατριάρχης Ἰωάννης ἐκέλευσε ταγῆναι τὰς ἁγίας τέσσαρας συνόδους τῶν τε ἐν Νικαίᾳ συνελ-

θόντων ἁγίων πατέρων καὶ τῶν ἐν Κων/λει ὡσαύτως συναχθέντων ἐπὶ Νεκταρίου τοῦ τῆς ὁσίας μνήμης καὶ τῶν ἐν Ἐφέσῳ ἐπὶ τῇ ἐκβολῇ Νεστορίου καὶ τῶν ἐν Χαλκηδόνι ἐπὶ τῇ ἐκβολῇ Εὐτυχοῦς καὶ τοῦ αὐτοῦ δυσσεβοῦς Νεστορίου καὶ τὰ ὀνόματα τῶν τελευτησάντων ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένων ἀρχιεπισκόπων ταύτης τῆς βασιλίδος πόλεως Εὐφημίου Μακεδονίου καὶ μέντοι καὶ Λέοντος τοῦ γενομένου ἀρχιεπισκόπου Ρώμης.

Τότε φωνῇ μεγάλῃ πάντες οἱ τοῦ λαοῦ ὡς ἐξ ἑνὸς στόματος ἐβόησαν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ»· καὶ πάλιν δεύτερον ἔκραζαν· «εὐλογητὸς Κύριος Ἰησοῦς ὁ βασιλεὺς, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ». Ἐπὶ πολλὴν δὲ ὥραν ἀντιφωνούντων ἑκατέρων τῶν μερῶν καὶ ψαλλόντων τὴν ψαλμῳδίαν ταύτην, οἱ ψάλται ἐπετράπησαν ἀνελθόντες εἰπεῖν τὸ τρισάγιον καὶ αὐτῶν ἀρξαμένων πᾶς ὁ λαὸς ἐπαύσατο καὶ ὑπήκουσε τοῦ τρισαγίου. Καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ ἁγίου εὐαγγελίου ἐξ ἔθους τῆς θείας λειτουργίας ἐπιτελουμένης καὶ τῶν θυρῶν κλεισθεισῶν καὶ τοῦ ἁγίου μαθήματος κατὰ τὸ σύνηθες λεχθέντος τῷ καιρῷ τῶν διπτύχων μετὰ πολλῆς ἡσυχίας συνέδραμον ἅπαν τὸ πλῆθος κύκλῳ τοῦ θυσιαστηρίου καὶ ἠκροῶντο καὶ ὡς μόνον ἐλέχθησαν αἱ προσηγορίαι τῶν εἰρημένων ἁγίων τεσσάρων συνόδων παρὰ τοῦ διακόνου καὶ τῶν ἐν ὁσίᾳ τῇ μνήμῃ ἀρχιεπισκόπων Εὐφημίου καὶ Μακεδονίου καὶ Λέοντος, φωνῇ μεγάλῃ ἔκραξαν ἅπαντες· δόξα σοι Κύριε. Καὶ μετὰ τοῦτο μετὰ πάσης εὐταξίας ἐπληρώθη σὺν Θεῷ ἡ θεία λειτουργία». (SAC, tom III, p. 67 - 76).

«Βασιλεῖ Θεοφιλεστάτῳ καὶ πανευσεβεστάτῳ Ἰουστινιανῷ αὐτοκράτορι Αὐγούστῳ δέησις καὶ ἱκεσία παρὰ Μαριανοῦ ἐλέει Θεοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Μονῆς Δαλματίου τοῦ μακαριωτάτου καὶ ἐξάρχου τῶν εὐαγῶν μοναστηρίων τῆσδε τῆς πόλεως καὶ ἀρχιμανδριτῶν τῶν αὐτῶν εὐαγῶν μοναστηρίων καὶ τῶν ἐν τῇ αὐτῇ ἐνδημούντων ἀπὸ τῆς ὑπὸ τὰ Ἱεροσόλυμα ἐρήμου ἀρχιμανδριτῶν καὶ μοναχῶν καὶ τῆς δευτέρας Συρίας καὶ τοῦ ἁγίου ὄρους Σινᾶ καὶ τῶν τριῶν Παλαιστινῶν (*).

4

Τὴν ἐν χειρὶ Θεοῦ καρδίαν τῆς ἡμετέρας εὐσεβείας οὗ δ' ἂν θέλῃ κλινομένην ὁρῶντες καὶ διὰ τοῦτο τῶν συνεχόντων πραγμάτων καλλίστη ὑμῶν πολιτείαν προτιμῶσαν καὶ τὴν τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνην καὶ τῶν πιστῶν λαῶν τὴν ἡσυχίαν, εἰκότως θαρροῦμεν παρενοχλεῖν τῷ θεοφυλάκτῳ ὑμῶν κράτει περὶ τῶν κοινῇ πᾶσι χριστιανοῖς συμφερόντων.

Διδάσκομεν τοίνυν ὡς εἰσόδου τετυχηκότες πρὸ τούτων φανερῶν ἡμερῶν παρὰ τῇ ἡμετέρᾳ εὐσεβείᾳ ἐδεήθημεν τῶν εὐσεβῶν ἰχνῶν τὸν ἐπιδεδομένον παρ' ἡμῶν λίβελλον τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατριάρχῃ Μηνᾷ προσδεχθῆναι καὶ κανονικῶς πραχθῆναι. Ἐπεὶ τοίνυν ὑπὲρ τῶν αὐτῶν δεόμεθα, θεσπισάτω ἡ ὑμετέρα φιλόθεος γαληνότης δι' εὐσεβοῦς ὑμῶν κελεύσεως καταπεμπομένης πρὸς τὸν εἰρημένον μακαριώτατον ἄνδρα τὸν εἰρημένον λίβελλον τὸν γενόμενον κατὰ τῶν λυμαινόντων τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, φαμὲν δὴ Σεβήρου καὶ Πέτρου τῶν δυσσεβῶν καὶ τῶν τὰ ὅμοια τούτοις φρονούντων ἀπὸ Εὐτυχοῦς

* Βλέπε σχετικῶς κεφ. Γ' ἐν τῷ τέλει.

καὶ Διοσκόρου καταγομένων ἀκεφάλων αἱρετικῶν, ὧν εἷς ἐστιν καὶ ὁ μάλιστα διαταράξας, τὸ γε ἐπ' αὐτῷ, τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, Ζωόρας τις Σύρος ἀλόγιστος πλήρης πάσης ἀνοίας καὶ μανίας καὶ μηδὲν ἕτερον παρὰ τούτων μαθὼν ἢ ἀναθεματίζειν τοὺς ἁγίους ἡμῶν πατέρας καὶ τοὺς τούτοις κοινωνοῦντας καὶ ἀπαιτεῖν τοὺς πρὸς αὐτὸν παραγινομένους τοῦτο ποιεῖν καὶ παρασυνάγειν καὶ παραβαπτίζειν, ὡς ἐδεήθημεν, προσδεχθῆναι καὶ κανονικῶς τά γε ἐγκείμενα αὐτῷ πέρας δέξασθαι συνιόντων κατὰ ταὐτὸν τοῦ τε εἰρημένου π α τ ρ ι ά ρ χ ο υ Μ η ν ᾶ καὶ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων Ρωμαίων καὶ τῆς ἐνδημούσης κατὰ ταύτην τὴν βασιλίδα πόλιν ἁγίας συνόδου.

Τούτου γάρ τυχόντες μειζόνως καὶ ἐπιτεταμένως τὰς ὑπὲρ τῆς ὑμετέρας εὐσεβείας ἱκεσίας ἀναπέμψομεν τῷ φιλανθρώπῳ Θεῷ ἐφ' ὧ τε δωρηθῆναι ἡμῖν ἐπὶ μηκίστους χρόνους τὸ ὑμέτερον εὐσεβὲς ὄνομα καὶ πρᾶγμα καὶ τὴν ὑμετέραν βασιλείαν φρουρουμένην ὑπὸ τῆς πάντα νοῦν ὑπερεχούσης τοῦ Θεοῦ εἰρήνης καὶ ταύτην χορηγοῦσαν ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις καὶ ἐκποδὼν ποιουμένην τούτων πάντα τὸν μὴ κοινωνοῦντα ταύταις καὶ τῷ ἀποστολικῷ θρόνῳ».

Ὑπογραφαί.

Μ α ρ ι α ν ὸ ς ἐλέει Θεοῦ πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἐν ἁγίοις Δαλματίου καὶ ἔξαρχος τῶν εὐαγῶν μοναστηρίων ταύτης τῆς βασιλίδος πόλεως ὑπογράψας ἐδεήθην.

Π α ῦ λ ο ς ἐλέει Θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῆς ἁγίας μάρτυρος Ἑρμιόνης τῆς διακειμένης πλησίον τῶν Ἑλλεβίχου ὑπογράψας ἐδεήθην διὰ χειρὸς Μαρίνου ἀναγνώστου.

Σ α β β ά τ ι ο ς ἐλέει Θεοῦ μοναχὸς τῆς Λαύρας τοῦ μακαρίου Σάββα καὶ ὑπὲρ πάντων τῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων μοναχῶν δεηθεὶς ὑπέγραψα.

(Σύνολον ὑπογραφῶν 97. ΜΗΛΙΑ Β, σ. 285 - 7).

Παρομοίας διαμαρτυρίας μὲ ἀναλόγους ὑπογραφὰς καὶ ὑπὲρ τοῦ αὐτοῦ θέματος, ἤτοι κατὰ τῆς τῶν ἀκεφάλων αἱρέσεως, ἀπηύθυναν οἱ μοναχοὶ πρὸς α) τὸν πατριάρχην Κων/λεως Μηνᾶν

κα τὴν περὶ αὐτὸν ἐνδημοῦσαν σύνοδον (Μήλια, Β, 287-294), β) τὸν αὐτοκράτορα Ἰουστινιανὸν διὰ Μαριανοῦ Μοναχοῦ καὶ ἀρχιμανδρίτου (SAC, III, σ. 131-4)· γ) τὴν αὐτὴν ἐν Κων/λει ὑπὸ τὸν πατριάρχην Μηνᾶν σύνοδον = («διδασκαλικόν») (SAC, αὐτ: σ. 134-6)· δ') τὸν πάπαν Ρώμης Ἀγαπητὸν (Αὐτ: σ. 136-147), καὶ ε') πρὸς τοὺς ἐπισκόπους Ἀπαμείας (Μήλια, Β, σ. 322-3).



Διαμαρτυρία Ἰωάννου πρεσβυτέρου καὶ ἡγουμένου τῆς εὐαγοῦς Λαύρας τοῦ ἁγίου Σάββα καὶ ἑτέρων ἡγουμένων τῶν κατὰ τὴν Παλαιστίνην, Ρώμην καὶ Ἀφρικὴν εὐαγῶν Μοναστηρίων, κατὰ Σεργίου, Κύρου, Παύλου καὶ Πύρρου τῶν μονοθελητῶν (*).

5

Μαρτῖνος ὁ ἁγιώτατος καὶ μακαριώτατος πάπας τῆς τῶν Ρωμαίων ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας εἶπεν: Οἱ καταμηνύσαντες ἑαυτοὺς τῇ συνεδρευούσῃ ἡμῖν ἁγίᾳ συνόδῳ θεοφιλεῖς ἡγούμενοι καὶ μονάζοντες εἰσίτωσαν κατὰ τάξιν καὶ διδασκέτωσαν περὶ ὧν βούλονται σὺν παρρησίᾳ.

Ἰωάννης πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς Λαύρας τοῦ ἐν ἁγίοις Σάββα διακειμένης ἐν τῇ ἐρήμῳ τῇ κατὰ τὴν ἁγίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλιν, καὶ Θεόδωρος πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς Λαύρας τῆς διακειμένης κατὰ τὴν Ἄφρων φιλόχριστον χώραν, καὶ Θαλάσσιος πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς Μονῆς τῶν Ἀρμενίων τῆς ἐνθάδε παροικούσης εἰς τὴν ἐπιλεγομένην μονὴν Ρενάτου καὶ Γεώργιος πρεσβύτερος καὶ ἡγούμενος τῆς εὐαγοῦς μονῆς τῶν Κιλίκων τῆς ἐνθάδε παροικούσης εἰς τὴν ἐπιλεγομένην Ἀκουασαλβίας καὶ οἱ σὺν αὐτοῖς πάντες εὐσεβεῖς ἡγούμενοι καὶ μονάζοντες ἔμπροσθεν τῆς ἁγίας συνόδου παραστάντες, εἶπον:

Αἰτοῦμεν τὴν ὑμετέραν παμμακάριστον ἁγιωσύνην μὴ ἀπαξιῶσαι τὴν ἡμῶν ἔγγραφον προσδέξασθαι δέησιν, ἤτοι τὸν ἡμέτερον λίβελλον· ἀλλ' εἰ παρίσταται φιλανθρώπως αὐτῇ, κελεῦσαι τοῦτον παρ' ἡμῶν δεχθῆναι καὶ ἀναγνωσθῆναι περὶ τῆς ὀρθοδόξου προτεινόμενον πίστεως.

---

* Βλέπε σχετικῶς κεφ. Δ' τοῦ παρόντος.

Μάξιμος ὁ ἁγιώτατος ἐπίσκοπος Ἀκυλυνίας, εἶπεν: Κατὰ τὴν αἴτησιν τῶν παρεστώτων εὐλαβῶν ἡγουμένων καὶ Μοναχῶν, ὁ τούτων λίβελλος παρ' αὐτῶν ληφθήτω καὶ ἀναγνωσθήτω· καὶ λαβὼν Θεόδωρος νοτάριος ρεγεωνάριος τοῦ ἀποστολικοῦ θρόνου πρὸς τὴν Ρωμαίων ἀπὸ τῆς Ἑλλάδος ἑρμηνευθέντα φωνῆς, ἀνέγνω:

Τῇ ἁγίᾳ τοῦ Θεοῦ καὶ ἀποστολικῇ συνόδῳ τῇ κατ' εὐδοκίαν καὶ χάριν καὶ ἀδιαίρετον κοινωνίαν τοῦ παναγίου Πνεύματος ἐν ταύτῃ συμφώνως καὶ ὁμοψύχως τῇ μεγαλωνύμῳ συναγηγερμένῃ καὶ πρεσβυτέρᾳ Ρώμῃ πρὸς βεβαίωσιν ἱερὰν καὶ ἀνόρθωσιν τῆς εὐσεβοῦς ἡμῶν καὶ ἀμωμήτου πίστεως, κατὰ κέλευσιν ὁσίαν τε καὶ πρόσταξιν τοῦ θεοκρίτως, ὑμῶν τε καὶ πάντων προκαθεζομένου τε καὶ ἐξάρχοντος ἱερέων ἱερέως, καὶ πατρὸς πατρῶν δεσπότου ἡμῶν Μαρτίνου τοῦ τρισμακαρίστου πάπα, τὸ κοινὸν τῶν ἐνθάδε παροικούντων Γραικῶν ἡγουμένων καὶ μοναχῶν δούλων τῆς ὑμετέρας ἁγιωσύνης περὶ τῶν ὑποτεταγμένων, διδάσκομεν.

Τῆς ὄντως κατὰ φύσιν ἀνάρχου τοῦ Θεοῦ καὶ πατρὸς σοφίας, τοῦ Κυρίου καὶ Θεοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παντὶ τῷ ζωῆς ἐρῶντι θείας, τῆς ἐν αὐτῷ νῦν κρυπτομένης καὶ φανερουμένης εἰς ὕστερον, μαρτυρουμένου καὶ παρεγγυῶντος· ὁ ὁμολογῶν με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ὁ δὲ ἀρνούμενος ἐμὲ καὶ τοὺς ἐμοὺς λόγους, ἀρνήσομαι κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς· καὶ ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, ἀπολέσει αὐτήν· ὁ δὲ μισῶν τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εἰς ζωὴν αἰώνιον τηρήσει αὐτήν, ἀναγκαίως, μακαριωτάτοι, κόσμου τελειουμένου καὶ ζωῆς φθειρομένης, ἔτι δὲ καὶ τῆς ἑαυτῶν ψυχῆς, τὴν αὐτὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ψήφοις ἁπάσαις ἁγιωτάτην προκρίναντες πίστιν, καὶ πρότερον μὲν κοινῶς ἡνίκα τὴν Ἄφρων παροικοῦμεν χώραν τὸ ἀποστολικὸν τουτονὶ καὶ κορυφαῖον ἐξῃτήσαμεν θρόνον· τοῦτο δὲ συμφώνως οὐχ ἡμεῖς τε μόνον, ἀλλὰ καὶ πᾶσα χώρα καὶ πόλις, ἤτοι τὴν ἐν πίστει παροικούντων ἑκάστην ἱερέων καὶ λαῶν τὰ συστήματα, μὴ παριδεῖν τὴν ὀρθόδοξον πίστιν καινοτομηθεῖσαν, καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον προφανῶς ἐκβληθεῖσαν, ταὐτὸ δὲ λέγειν

τοὺς ἁγίους πάντας καὶ περιδόξους πατέρας ὑπὸ Σ ε ρ γ ί ο υ, Π ύ ρ ρ ο υ κ α ὶ Π α ύ λ ο υ τ ῶ ν τ ῆ ς β α σ ι λ ί δ ο ς π ρ ο ε δ ρ ε υ σ ά ν τ ω ν, κ α ὶ μ ὴ ν κ α ὶ Κ ύ ρ ο υ τ ο ῦ τ ῆ ς Ἀ λ ε ξ α ν δ ρ έ ω ν ἐ π ι σ κ ο π ή σ α ν τ ο ς π ό λ ε ω ς· οἵτινες πανούργως πρόφασιν οἷον τινα καὶ συγκάλυψιν τῆς ἰδίας καινοτομίας τὴν κλῆσιν δῆθεν ποιήσαντες τῶν ἀσεβῶν αἱρετικῶν, τὴν αὐτῶν τῶν αἱρετικῶν κακοπιστίαν κατὰ τῶν ὀρθοδόξων τῆς ἐκκλησίας δογμάτων εἰσήγαγον, τὴν πάλαι κρυπτομένην αὐτοῖς ἐκφύναντες αἵρεσιν, ὡς μίαν ἐπὶ Χριστοῦ θέλησιν καὶ ἐνέργειαν ὁμολογεῖν θεσπίσαντες τε καὶ ψηφισάμενοι τὴν ἁγίαν τοῦ Θεοῦ καθολικὴν ἐκκλησίαν ὁμοφρόνως τοῖς ἀπὸ Σεβήρου τε καὶ Ἀπολλιναρίου Νεστορίου τε καὶ Θεοδώρου τῶν συγχύσει καὶ διαιρέσει τῷ Χριστοῦ τοῦ Θεοῦ μυστηρίῳ λυμαινομένων δυστρόπων αἱρετικῶν. Καὶ νῦν δὲ παρόντες π α ρ α κ α λ ο ῦ μ ε ν τ ε κ α ὶ π ρ ο σ π ί π τ ο μ ε ν κ α ὶ ἐ ν τ ε υ χ ό μ ε θ α πάντας ὑμᾶς τοὺς ἁγιωτάτους πατέρας, ἤτοι τὸν ἀποστολικὸν καὶ κορυφαῖον θρόνον κατὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος τῆς τῶν ὄντων αἰτίας φύσει καὶ μονῆς ἀϊδίου θεότητος, καὶ πάσης τῆς κατ᾽ οὐρανὸν ἁγίας καὶ ἀγγελικῆς στρατιᾶς τε καὶ τάξεως τῆς ἀπαύστως ἐν δοξολογίᾳ τὸν τρισάγιον αὐτῇ τῇ μακαρίᾳ θεότητι προσκομιζούσης ὕμνον, καὶ τῶν ἁγίων ἀποστόλων προφητῶν καὶ μαρτύρων καὶ διδασκάλων, καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν τεσσάρων συνόδων τῆς ἐν Νικαίᾳ, καὶ τῆς ἐν Κων/λει καὶ τῆς ἐν Ἐφέσῳ τρίτης, καὶ τῆς ἐν Χαλκηδόνι καὶ τῆς ἐν δευτέρῳ κατὰ τὸ Βυζάντιον συνελθούσης ἁγίας πέμπτης συνόδου, καὶ πάντων συνελόντι φάναι, τῶν ἀπ᾽ αἰῶνος ἁγίων, ὧ ν τ ο ῖ ς δ ό γ μ α σ ι ν ο ὐ χ ἧ τ τ ο ν ἢ τ ο ῖ ς α ἵ μ α σ ι ν ἡ ἁ γ ί α π ί σ τ ι ς κ ε κ ύ ρ ω τ α ί τε καὶ ὕσταται, καὶ εἰς ὑμᾶς παρεπέμφθη τοὺς ἁγιωτάτους, μὴ παριδεῖν τὸν ἐν τοσούτοις χρόνοις πανταχόθεν πρός τε τὸν Θεὸν ἐπίσης καὶ τοὺς ἁγιωτάτους ἡμῶν ἐκτεινομένων χριστιανῶν τὰς ἱκεσίας, μήτε μὴν ἡμῶν τῶν ταπεινῶν καὶ ἀπόντων καὶ παρόντων τὰς περὶ τούτου μετὰ δακρύων δεήσεις· ἀλλὰ κανονικῶς τε καὶ συνοδικῶς τὴν ὑπὸ τῶν εἰρημένων ἀνδρῶν π ο λ ε μ η θ ε ῖ σ α ν ἁ γ ι ω τ ά τ η ν π ί σ τ ι ν δ ι ε κ δ ι κ ῆ σ α ι καὶ πᾶσι μετὰ Θεὸν τὴν αὐτὴν περισώσασθαι, σώαν,

εἰλικρινῆ καὶ ἀκαινοτόμητον, τῷ εὐσεβεῖ καθὼς καὶ τὸ πρότερον περιλαμπομένην λόγῳ τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ὀρθοδόξοις ἱερεῦσι τε καὶ λαϊκοῖς καὶ μονάζουσιν· ἐπειδὴ πάντων εἰς ἡμᾶς ἤρτηνται μετὰ Θεὸν αἱ καρδίαι κορυφαίων ὑμᾶς ἀπὸ Χριστοῦ τεθειμένους ἐπισταμένων καὶ τῶν ἐκκλησιῶν κεφαλήν, ὥστε αὐτούς, Σέργιον φαμέν, καὶ Κύρον, καὶ Πύρρον καὶ Παῦλον καὶ τὰ τούτων ὑπὲρ τῆς ἀσεβοῦς αὐτῶν καινοτομίας ῥήματά τε καὶ δόγματα, καὶ πάντας τοὺς αὐτοῖς καθ' οἷον οὖν τινα τρόπον ἢ λόγον ἢ καιρόν, ἢ τόπον συναπενεχθέντας τε καὶ συμφωνήσαντας καὶ τοῦτο ποιεῖν μέλλοντας ἐπὶ τῇ παραβάσει τῶν πατρικῶν ὅρων τε καὶ δογμάτων, ἀναθέματι προσωπικῶς καθυποβαλεῖν, ἀλλὰ ἀπροσώπως ἐπαγαγεῖν κατ' αὐτῶν τὴν ἀπόφασιν· οὐ γάρ νόμος τοῦτο συνόδου καθέστηκεν ἢ ἐκκλησίας, ὥστε τὴν ἔγκλησιν διὰ τῶν ἐγγράφων αὐτῶν ἐμπροσώπως κομιζομένων, ἀπροσώπως ἐποῖσαι κατ' οὐδενὸς τὴν ἀπόφασιν· μεθ' ὧν ἐκδίκως καὶ τὸν νῦν κατὰ τῆς ὀρθοδόξου πίστεως γενόμενον τύπον ἐκ συναρπαγῆς οὐ κατ' εἴδησιν ἢ γνώμην τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως, ἀλλ' εἰς εἰσήγησιν ὀχληρὰν καὶ παραδιδαχὴν Παύλου τοῦ καθαιρεθέντος ὑπὸ τοῦ τὴν ὑμετέραν προηγησαμένου παναγιστίαν, Θεοδώρου φαμὲν τοῦ ἐν ἁγίοις πάπα τῆς καθ' ὑμᾶς ἀποστολικῆς καθέδρας, τῷ αὐτῷ ἀναθέματι συναποβαλεῖν εἰς ὃν τύπον ἀνενέργητον πάντῃ καὶ ἀνεθέλητον τοὐτέστιν ἄνουν καὶ ἄψυχον καὶ ἀκίνητον αὐτὸν τὸν τῆς δόξης Θεὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐδογμάτισαν τοῖς τῶν ἐθνῶν ἀψύχοις παραπλησίως εἰδώλοις, περὶ ὧν φησιν ὁ μέγας Δαβίδ «τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται· ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται· ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται· χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς· τοιοῦτον γάρ ἅπαν τὸ ἀνενέργητον πάντῃ καὶ ἀνεθέλητον, διὰ τοῦ λέγειν μὴ ἐξεῖναι τινι τῶν πάντων ἐπὶ Χριστοῦ μίαν ἢ δύο καθάπαξ ἐνεργείας ἢ θελήματα ὁμολογεῖν· ὅπερ πάντων τῶν ἁγίων πατέ-

ρων τε καὶ συνόδων μᾶλλον δὲ αὐτοῦ τοῦ κατὰ Χριστὸν τὸν Θεόν μυστηρίου τελεία καθέστηκε ἄρνησις, εἴπερ οὐδεὶς ἢ οὐδεμία τῶν ἁγίων πατέρων καὶ συνόδων αὐτὸν τὸν Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστὸν θείας καὶ ἀνθρωπίνης ἄμοιρον ὄντα κατὰ φύσιν ἐκήρυξέ τε καὶ ὥρισεν ἐνεργείας τε καὶ θελήσεως· ἀλλ' ὥσπερ θείαν φύσιν καὶ ἀνθρωπίνην φύσιν, τουτέστιν δύο τῶν αὐτὸν καθ' ἕνωσιν ἀσύγχυτόν τε καὶ ἀδιαίρετον φύσεις, οὕτω καὶ θείαν θέλησιν καὶ ἐνέργειαν, τῇ τε τῶν αὐτοῦ παραδόξων καὶ θείων προβολῇ θαυμάτων, καὶ τῇ τῶν ἑκουσίων καὶ ἀνθρωπίνων παραδοχῇ παθημάτων ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς κυρουμένας Θεοῦ Λόγου σεσαρκωμένου, βεβαίως ἐθέσπισαν εἰς τὴν τῶν ἐξ ὧν καὶ ἐν οἷς καὶ ἅπερ ἐστιν αὐτὸς εἷς ὁ κύριος ἡμῶν καὶ Θεὸς ἀληθῶν πραγμάτων ἀμείωτόν τε καὶ ἀνόθευτον πίστωσιν, ἤτοι τῆς τοῦ αὐτοῦ κατὰ φύσιν θεότητός τε καὶ ἀνθρωπότητος, ὡς οὐδετέρας ἀμοίρου καθεστηκυίας ἐνέργειας φυσικῆς καὶ θελήσεως· καὶ κυρῶσαι συνοδικῶς τὴν εὐσέβειαν, δύο καθάπερ φύσεις, οὕτω καὶ φυσικὰς ἐνεργείας τε καὶ θελήσεις τοῦ αὐτοῦ καὶ ἑνὸς Θεοῦ Λόγου σεσαρκωμένου πρεσβεύειν εὐσεβῶς ἡμᾶς ὁριζόμενοι κατὰ τὴν τῶν εἰρημένων ἁγίων πατέρων θειοτάτην παράδοσιν, τούτου σαφῶς διεγνωσμένου τοῖς ἁγιωτάτοις ὑμῖν ὡσὶ παρὰ ταῦτα φαμὲν δὴ τὰ παρ' ἡμῶν ὑπὲρ τῆς εὐσεβείας εὐσεβῶς αἰτηθέντα τίποτ' ἂν ὅλως ὁρισθῇ παρὰ τῆς ὑμετέρας μακαριότητος· ὅπερ ἀπείη τε καὶ ἀπέστω.

Τοῦτο γάρ οὐδ' ἄλλως πιστεύομεν τῇ ἐντελείᾳ τῆς πίστεως λυμαινόμενον, ἐλεύθεροι πάντῃ καὶ ἀθῷοι πρὸς τὸ γινόμενον καθεστήκαμεν· οὕτινος χάριν πρὸς ἐντελεστέραν τῆς ἡμῶν οὐδενείας οἰκοδομὴν καὶ ἀσφάλειαν, παρακαλοῦμεν τὴν ὑμετέραν ἁγιωσύνην μέχρι μιᾶς κεραίας σὺν ἀκριβείᾳ πάσῃ, πρὸς τὴν Ἑλλάδα μεθερμηνευθῆναι φωνὴν τὰ νῦν παρὰ τῆς ὑμετέρας ἁγιωσύνης, πραττόμενά τε καὶ ἐκφωνούμενα τῆς ὀρθοδόξου πίστεως ἕνεκεν, ἵνα τὴν τούτων γνῶσιν λαμβάνοντες, ἐν ἐπιγνώσει τὴν ἡμετέραν ἐν τούτοις προσοίσωμεν τοῖς μακαριωτάτοις ὑμῖν συγκατάθεσιν, ἐμμένοντες ἀπαραβάτως, οἷς ὀρθοδόξως ὁρίζετε, ὡς λέλεκται πατέρων τε καὶ συνόδων διδασκαλίαν ἱερὰν καὶ παράδοσιν τῆς εἰς αὐτὸν χάριν τὸν Κύριον ἡμῶν καὶ Θεὸν εἰλικρινοῦς ὁμολογίας καὶ πίστεως. (ΜΗΛΙΑ Β', σ. 442 - 444).

Τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ Λόγος πρῶτος ἀπολογητικὸς πρὸς τοὺς διαβάλλοντας τὰς ἁγίας εἰκόνας. Προοίμιον (*).

6

«Ἔχρῆν μὲν ἡμᾶς ἀεὶ τῆς ἑαυτῶν συναισθανομένους ἀναξιότητος σιγὴν ἄγειν, καὶ Θεῷ τὴν τῶν ἡμαρτημένων ἡμῖν προσάγειν ἐξομολόγησιν· ἀλλ' ἐπειδὴ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁρῶ δὲ τὴν Ἐκκλησίαν, ἣν ὁ Θεὸς ὠκοδόμησεν ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ, βαλλομένην ὥσπερ θαλλατίῳ κλύδωνι, κύμασιν ἀλλεπαλλήλοις κορυφουμένῳ, ἐξ ἐπαχθεστάτης φορᾶς τῶν πονηρῶν πνευμάτων κυκωμένην τε καὶ ταραττομένην, καὶ τὸν χιτῶνα Χριστοῦ τὸν ἄνωθεν ὑφαντόν, διαιρούμενον, ὃ ἀσεβῶν διελεῖν ηὐθαδιάσαντο παῖδες, καὶ τὸ σῶμα αὐτοῦ εἰς διαφόρους κατατομὰς τεμνόμενον, ὅ ἐστιν ὁ τοῦ Θεοῦ λόγος, καὶ ἡ τῆς Ἐκκλησίας ἄνωθεν κεκρατηκυῖα παράδοσις, οὐκ εὔλογον ἡγησάμην σιγᾶν, καὶ δεσμὰ ἐπιθεῖναι τῇ γλώσσῃ, τὴν ἠπειλημένην ἀπόφασιν ὑφορώμενος, τὴν φάσκουσαν·» «ἐὰν ὑποστείλῃς, οὐκ εὐδοκεῖ ἐν σοὶ ἡ ψυμή μου» καί· «ἐὰν ἴδῃς τὴν ρομφαίαν ἐρχομένην, καὶ μὴ ἀναγγείλῃς τῷ ἀδελφῷ σου, ἐκ σοῦ ἐκζητήσω τὸ αἷμα αὐτοῦ».

Φόβῳ τοίνυν ἀφορήτῳ βαλλόμενος, ἐπὶ τὸ λέγειν ἐλήλυθα, οὐ βασιλέων ὕψος πρὸ τῆς ἀληθείας τεθείς· «ἐλάλουν γάρ», ἤκουσα τοῦ θεοπάτορος λέγοντος Δαβίδ, «ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην», ἀλλὰ μᾶλλον τούτῳ πρὸς τὸ λέγειν νυττόμενος. Δεινὸν γάρ βασιλέως λόγος πρὸς ὑπαγωγὴν τῶν ὑπηκόων· ὀλίγοι γάρ ὅσοι τῶν ἀνέκαθεν, βασιλικῶν κατωλιγώρησαν θεσπισμάτων, ὅσοι τὸν ἐπὶ γῆς βασιλέα, βασιλεύομενον οἴδασι ἄνωθεν, καὶ ὡς κρατοῦσιν οἱ νόμοι τῶν βασιλέων.

* Βλέπε σχετικῶς κεφ. Ε' τοῦ Α' Μέρους.

Πρῶτον μὲν οὖν ἁπάντων, οἷον τινα τρόπιν, ἢ θεμέλιον τῷ λογισμῷ καταπήξας, τὴν τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας συντήρησιν, δι' ἧς σωτηρία προσγίνεσθαι πέφυκε, τοῦ λόγου τὴν βαλβῖδα ἠνέωξα, καὶ τοῦτον ὥσπερ ἵππον εὐχάλινον, τῆς ἀφετηρίας παρώρμησα. Δεινὸν γάρ ὄντως ὠήθην, καὶ πέρα δεινῶν, τοσούτοις τὴν Ἐκκλησίαν ἀμαρύσσουσαν προτερήμασι, καὶ ταῖς τῶν εὐσεβεστάτων ἀνδρῶν ἄνωθεν παραδόσεσι ὡραϊσθεῖσαν, παλινοστεῖν ἐπὶ τὰ πτωχὰ στοιχεῖα, φοβουμένην φόβον, οὗ οὐκ ἔστι φόβος· καὶ ὥσπερ οὐκ ἐγνωκυῖαν τὸν ὄντως Θεὸν, ὑφορᾶσθαι τὸν εἰς εἰδωλολατρείαν ὄλισθον, καὶ κἂν γοῦν ἐν σμικροτάτῳ τῆς τελειότητος λείπεσθαι ὥσπερ τινὰ στιγμὴν ἐπίμονον ἐν μέσῳ προσώπου λίαν ὡραϊσμένου φέρουσαν, τῷ ἀπόσῳ τοῦ παραγράμματος, τοῦ κάλλους τὸ πᾶν λυμαινομένην. Οὐ γάρ μικρὸν τὸ μικρὸν ὅταν εἰς μέγα ἐκφέρῃ, ὅπου γε οὐδὲ σμικρὸν τὸ παρεγχάραμα, ἄνω κεκρατηκυῖαν Ἐκκλησίας ἀνατραπῆναι παράδοσιν, οἷα κατεγνωσμένων τῶν προκαθηγησαμένων ἡμᾶς, ὧν ἐχρῆν ἀναθεωροῦντες τὴν ἀναστροφήν, μιμεῖσθαι τὴν πίστιν.

Ἐκλιπαρῶ τοίνυν, πρῶτον μὲν τὸν παντοκράτορα Κύριον, ὦ γυμνὰ πάντα καὶ τετραχηλισμένα· πρὸς ὑμᾶς ὁ λόγος· εἰδότα τῆς ταπεινῆς μου γνώμης ἐν τούτῳ τὸ ἀκραιφνὲς, καὶ τοῦ σκοποῦ τὸ εἰλικρινές, δοῦναι μοι λόγον ἐν ἀνοίξει στόματός μου, καὶ τοῦ νοῦ τὰς ἡνίας οἰκείαις χερσὶν ἀναδέξασθαι, καὶ τοῦτον πρὸς ἑαυτὸν ἐπισπάσασθαι, πρὸς ἐνώπιόν τε καὶ εὐθείαν τρίβον τὴν ῥύμην ποιούμενον, μὴ ἐκκλίνοντα πρὸς τὰ δοκοῦντα δεξιά, ἢ ἀριστερὰ γνωριζόμενα, μεθ' ὃν ἅπαντα τὸν τοῦ Θεοῦ λαόν, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, σὺν τῷ καλῷ ποιμένι τῆς λογικῆς Χριστοῦ ποίμνης, τῷ τὴν Χριστοῦ ἱεραρχίαν ἐν ἑαυτῷ ὑπογράφοντι, δέξασθαί μου τὸν λόγον, μετ' εὐμενείας· μὴ τῷ ἐλαχίστῳ τῆς ἀξίας προσέχοντας, ἢ λόγων ἐπιζητοῦντας στροφάς· ἐπεί τούτων οὐ παντελῶς ἴδρις ὁ πένης ἐγώ· ἀλλὰ τῆς τῶν νοημάτων φροντίσαι δυνάμεως. Οὐ γάρ ἐν λόγῳ ἡ βασιλεία τῶν οὐρανῶν, ἀλλ' ἐν δυνάμει. Οὐ γάρ νικῆσαι σκοπός, ἀλλὰ τῇ ἀληθείᾳ πολεμουμένῃ χεῖρα ὀρέξαι, τῆς προαιρέσεως ὀρεγούσης χεῖρα δυνάμεως. Ἀρωγὸν τοίνυν τὴν ἀνυπόστατον ἐπικεκλημένος ἀλήθειαν, ἐντεῦθεν τοῦ λόγου τὰς ἀρχὰς ποιήσομαι...». (P.G. 94, 1232A - 1233D).

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Θεοδώρου καθηγουμένου τῆς τῶν Στουδίων Μονῆς. «Τῇ εἰκονομαχικῇ συνόδῳ, ὡς ἐκ προσώπου πάντων τῶν ἡγουμένων»(*).

1

Νόμοις θείοις καὶ κανονικοῖς θεσπίσμασιν ἑπόμενοι, τοῦ μὴ δεῖν παρὰ τὴν τοῦ οἰκείου ἐπισκόπου γνώμην πράττειν τι ἢ λέγειν τῶν ὅσα εἰς ἐκκλησιαστικὴν φέρει εὐταξίαν, πολλοῦ γε εἰπεῖν εἰς δογματικὴν ἐξέλκει συζήτησιν· τούτου χάριν τῆς ὑμετέρας ἐξουσίας ἅπαξ καὶ δὶς ἐκκαλεσάσης πρὸς τὰ τοιαῦτα τὴν καθ' ἡμᾶς εὐτέλειαν, οὐκ ἐτόλμησεν ἔξω τι τῶν νενομισμένων πράττουσα παραγενέσθαι, ὡς ὑπὸ τὴν ἱερὰν χεῖρα Νικηφόρου τοῦ ἁγιωτάτου πατριάρχου πνεύματι θείῳ τελοῦσα. Ἐπειδὴ δὲ τινες τῶν ὁμοταγῶν ἡμῖν ἡγουμένων ἀπόπειράν τινα ποιούμενοι κεκρίκασιν ἀφικέσθαι, εἴς τε λόγους ἐλθεῖν ἀντιθετικούς· τί ἄλλο ἢ ἐκεῖνα ἡμᾶς ἀκουτισθῆναι, ἃ ἐξίστησιν ἡμῶν τὴν ταπεινὴν καρδίαν; Φασὶ γάρ τὴν πρόσκλησιν εἶναι ἐπὶ καταστροφῇ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίας συνόδου· τὸ δὴ λεγόμενον ἐπ' ἀναιρέσει τοῦ προσκυνεῖσθαι τὴν σεπτὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε Θεοτόκου, καὶ πάντων ὁμοῦ τῶν ἁγίων.

Ὤ, τίς ἐνηχηθεὶς ταῦτα οὐ στενάξειε πικρὸν ἐκ βάθους καρδίας· ὡς ἀνατρεπομένης ἤδη ἐν τούτοις τῆς σωτηρίας οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου γῆ· βοάτω μεθ' ἡμῶν ὁ μεγαλοφωνότατος Ἡσαΐας· καὶ ὅσα τούτοις ἐπιφερόμενα κατὰ συνέχειαν. Μᾶλλον δὲ ἵν' οἰκειότερον φθεγξώμεθα· ἄκουε ἀνατολὴ καὶ δύσις, βορρᾶ τε καὶ ἡ κατὰ θάλασσαν λῆξις, ἐν οἷς καὶ νῦν τὰ καθ' ἡμᾶς, καὶ ἐφ' οἷς συνεδρεύειν τετόλμηται. Ἡμεῖς μὲν οὖν οἱ ἐλάχιστοι, οἵ τε παρα-

* Βλέπε σχετικῶς κεφ. Ε' τοῦ Α' Μέρους.

γενόμενοι καὶ μὴ παραγενόμενοι· ἀμφοτέροις γάρ εἷς ὁ λόγος, «ὡς συμψύχοις οὖσιν ἐν ἑνὶ θείῳ φρονήματι· τῇ ὑπ' οὐρανὸν Ἐκκλησίᾳ σύμφωνον πίστιν ἄγοντας· ἤγουν ἀναστηλοῦν τε καὶ προσκυνεῖν τὴν θείαν εἰκόνα αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τε παναγίας Μητρὸς αὐτοῦ καὶ οὑπινοσοῦν τῶν ἁγίων· οὐχ ὅτι παρὰ τῇ ἐν Νικαίᾳ τὸ δεύτερον ἁγίᾳ συνόδῳ, ἢ παρὰ τῇ πρὸ αὐτῆς δογματίσασῃ θειότατα, τὸ ἀσφαλὲς ἔχειν διαβεβαιούμεθα· ἀλλὰ γάρ ἀπ' αὐτῆς τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ, ἐγγράφως τε καὶ ἀγράφως ἐρηρεισμένοι ὄντες, ἀσφαλῶς βεβήκαμεν ἐπ' ἐκείνην τὴν ἕδραν, ἐφ' ἣ φησιν ὁ Χριστὸς· «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ἅδου οὐ κατισχύσουσιν αὐτῆς».

Τὶς γάρ καὶ λόγοις ἐξευρεθείη τῷ ἀντηγορεῖν ἑλομένῳ τοσούτῳ κράτει τῆς ἀληθείας; Εἰ γάρ ὁμολογουμένως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν ἀνθρωπείᾳ μορφῇ, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς ὤπται· ἀραρότως περιγράφεταί τε καὶ εἰκονίζεται καθ' ἡμᾶς· εἰ καὶ μένει τῇ θείᾳ μορφῇ ὁ αὐτὸς ἀπερίγραπτος· ἐπείπερ ἐστὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων· ἑκατέρων τῶν φύσεων ἐξ ὧν ἐστι τὰ ἰδιώματα ἀλώβητα διασώζων. Εἰ δὲ μοὶ περιγράφοιτο, ἀπόλωλε τὸ εἶναι ἄνθρωπος, πολλοῦ γε εἰπεῖν, μεσίτης, διὰ τῆς ἀναιρέσεως τοῦ περιγραπτοῦ συναναιρουμένων πάντων τῶν ὁμοστίχων ἰδιωμάτων. Εἰ γάρ οὐ περιγραπτός, οὔθ' ἁπτός, ὁμοῦ καὶ φηλαφητός· οἷς ἀντερεῖν ἠλιθιῶδες. Σώματος γάρ ταῦτα τοῦ ἀφῇ τε καὶ χροιᾷ ὑποπίπτοντος. Πῶς οὐχὶ καὶ περιγραπτὸς ἐξ οὗ καὶ παθητός; Εἰ δὲ περιγραπτὸς καὶ παθητός, πάντως καὶ προσκυνητὸς δηλαδὴ καθ' ἣν περιγράφεται ἰδέαν· ὡς μὴ σχιζομένης τῆς δόξης τοῦ πρωτοτύπου ἐν τῷ παραγώγῳ, κατὰ τὸν Μέγαν Βασίλειον· ἡ γάρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· δηλονότι οὑτινοσοῦν, εἴτε φυσικῆς, εἴτε τεχνητῆς· ἐπεὶ καὶ ἐπὶ τοῦ τύπου τοῦ τιμίου σταυροῦ τὸ αὐτὸ θεώρημα νοητέον. Τῇ γάρ προσκυνήσει τοῦ τύπου συμπροσκυνεῖται τὸ ζωοποιὸν ξύλον· ὡς καὶ ἔμπαλιν τῇ ἀναιρέσει συναναιρεῖσθαι ἔστιν ἐξ ἀναγκαίου. Ἢ οὐχὶ ἡ ὁμολογία τοῦ τύπου, ὁμολογία ἐστὶ τοῦ ζωοποιοῦ σταυροῦ; ὥσπερ οὖν καὶ ἡ ἄρνησις καθ' ὁμοίωσιν ἀντιστροφῆς. Τὸ ἀνάλογον οὖν ληπτέον ἐπί τε τῆς εἰκόνος Χριστοῦ καὶ αὐτοῦ δὴ Χριστοῦ, παντὶ τῷ συνιόντι. Καὶ οὔπω καιρὸς δο-

γματικῆς ἐξαπλώσεως, πειθούσης καὶ τὸν ἄγαν ἀμυδρόνουν ἀνανεύειν εὐπετῶς πρὸς τὰς αὐγὰς τῆς ἀληθείας.

Αὕτη ἡ εὐαγγελικὴ ἡμῶν πίστις τῶν ἁμαρτωλῶν· αὕτη ἡ ἀποστολικὴ ἡμῶν ὁμολογία τῶν εὐτελῶν· ἠδ' οὖν, ἡ πατροπαράδοτος ἡμῶν θρησκεία τῶν ἐλαχίστων. Παρὰ ταύτην, οὐχ' ὅτι ὁ τίς δε τῶν νῦν ἢ πάλαι, ἀλλ' οὐδ' εἰ Πέτρος καὶ Παῦλος· εἴπομεν γάρ ἀνένδεκτα ὡς ἐνδεχόμενα· οὐδ' ἂν ἐξ αὐτῶν ἥκῃ τῶν οὐρανῶν δογματίζων καὶ εὐαγγελιζόμενος δυνάμεθα αὐτὸν κοινωνὸν προσήκασθαι, ὡς μὴ στοιχοῦντα τῇ ὑγιαινούσῃ τῆς πίστεως διδασκαλίᾳ. Καὶ πρὸς ταῦτα ὅ,τι ἂν δοκῇ τῇ ἐξουσίᾳ ὑμῶν, ἑτοίμη ἡ ταπείνωσις ἡμῶν μέχρι θανάτου ὑποστῆναι, ἢ ἐξάρνους ἡμᾶς γενέσθαι τῆς τοιαύτης ἡμῶν εἰλικρινοῦς ὁμολογίας. (P.G. 99, 1116C - 1120A).

* * *

Θεόδωρος ταῖς ἁπανταχοῦ διεσπαρμέναις ἀδελφότησιν(*).

7α

Χαίρετε, ἐπιπόθητοί μου ἀδελφοὶ καὶ πατέρες, ὅτι χαρᾶς εὐαγγέλια. Πάλιν ἠξιώθημεν οἱ ἀνάξιοι ὁμολογῆσαι τὴν καλὴν ὁμολογίαν· πάλιν ἠκίσθημεν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἀμφότεροι. Καὶ γάρ καὶ ὁ ἀδελφὸς Νικόλαος ἐνήθλησε κάλλιστα καὶ πιστότατα. Εἴδομεν ἡμῶν κενούμενα ἐπὶ γῆς αἵματα οἱ ταπεινοί· ἐθεασάμεθα μώλωπας, ἰχῶρας, τὰς τούτοις ἀκόλουθα. Οὐ ταῦτα χαρᾶς; οὐ ταῦτα ἀγαλλιάσεως ψυχικῆς; Ἀλλὰ τίς εἰμι ἐγὼ ὁ τάλας, σὺν ὑμῖν τοῖς ἀξίοις Χριστοῦ ὁμολογηταῖς ἐνταγῆναι, πάντων ἀνθρώπων ὢν ἀχρειότερος; Τὸ δὲ αἴτιον οὗ χάριν τὸ συμβάν, ἡ πάλαι κατήχησις, ἣν ἐπὶ χεῖρας δεξάμενος ὁ κρατῶν, πέπομφε πρὸς τὸν στρατηγοῦντα, παραγενέσθαι ἐγκελευσάμενος τὸν τῆς κόρτης κόμητα πρὸς ἡμᾶς· ὃς ἐληλυθὼς σὺν ἄρχουσι καὶ στρατιώταις ἐν ἀωρίᾳ, καὶ περιστοιχίσας τὸ οἰκίδιον ἐν ᾧ ἤμεν, ἀθρόως μετὰ κραυγῆς, ὡς ἐπί τι θηράσιμον εὕρεμα, ὀρυκτῆρσι κα-

* Βλέπε σχετικῶς κεφ. Ε' τοῦ Α' Μέρους.

τέαξαν τὸ ἀνάφραγμα τάχιστα· εἶτα ἐξήνεγκεν, ἀνέκρινεν, ὑπέδειξε τὴν κατήχησιν. Ὡμολογήσαμεν ἡμεῖς αὐτὴν πεποιηκέναι, ὡς ὁ Θεὸς ἠθέλησεν. Ὁ μὲν ἓν ἐζήτει μόνον, ἐλθεῖν ἡμᾶς εἰς τὸ τοῦ βασιλέως θέλημα. Εἴπομεν ὅπερ ἀπήτει ἡ ἀλήθεια. Μὴ γένοιτο!, οὐκ ἀθετοῦμεν τὸν Θεὸν ἡμῶν, ὅσα τε ἄλλα ἀκούοντος ἀνταποκρίνασθαι. Ἐν τούτοις ἔδειρε βαρέως· καὶ ὁ μὲν ἀδελφὸς οὐδὲν τοιοῦτον μετὰ τὴν εὐθὺς κάθειρξιν καὶ ἀναγραφὴν δεινὸν ἐν πόνοις ὑπέστη. Ἐγὼ δὲ ὁ ταπεινὸς καὶ σαθρός, πυρετοῖς λαύροις συσχεθεὶς καὶ πόνοις δυσυποίστοις, μικροῦ δεῖν ἐξηπορήθην καὶ τοῦ ζῆν· ὅμως ὁ ἀγαθὸς Θεὸς κατὰ μικρὸν ἐλεῶν ἐλέησε με· συνυπουργοῦντος καὶ τοῦ ἀδελφοῦ ἐν τοῖς καθήκουσι· κἂν ἔτι αἱ πληγαὶ ἐπιμένωσι μὴ λαβοῦσαι τελείαν ἴασιν. Ταῦτα μὲν ἐν τούτοις· καὶ ἐξηγόρησα ἡμῖν τὸ πάθος· εἰδὼς ἐφιεμένους μαθεῖν εἰς συνάλγησιν.

Τί οὖν ἐπειδὴ τὰ τοιαῦτα; καὶ ἡ ἀπειλὴ δεινοτέρα καὶ ἡ ἀσφάλεια κραταιοτέρα. Δαρμοὶ γάρ ἐπὶ τοὺς φύλακας καὶ τὸν παραφύλακα τοῦ μὴ γρῦξαι ἡμᾶς, μὴ ὅτι γε καὶ γράφειν τινί. Ὑποπτήξομεν ἄρα καὶ ἀποσιωπήσομεν, πειθαρχοῦντες τῷ φόβῳ ἀνθρώποις καὶ οὐχὶ Θεῷ; Οὐμενοῦν! Ἀλλ' ἕως ἀνοίγῃ ἡμῖν θύραν ὁ Κύριος, οὐ παυσόμεθα τὸ δέον ἀποπληροῦν κατὰ τὸ ἐφικτὸν ἡμῖν, φοβούμενοι καὶ τρέμοντες τὸ ἐπηρτημένον τῆς σιωπῆς κρῖμα. «Ἐὰν ὑποστέλληται», φησίν, «οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ»· καὶ πάλιν ὁ ἀπόστολος· «ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς».

Διὰ τοῦτο μοι καὶ ἡ παροῦσα ἐπιστολὴ πρὸς μὲν πάντας τοὺς διεσπαρμένους ἀδελφοὺς, καὶ διαφέροντας τὸν διωγμὸν θλιπτικῶς, ἐξαιρέτως δὲ εἰς ὑμᾶς τοὺς ὁμολογητὰς Χριστοῦ. Ἐνέγκωμεν, ἀδελφοί μου ἀγαπητοί, ἔτι μᾶλλον δυναμούμενοι, ἀλλ' οὐ καταπτήσοντες ἐν τοῖς παθήμασι. Σάρκες εἰσί. Μὴ φεισώμεθα· ὑπὲρ Χριστοῦ βασανιζόμενοι, ἀγαλλιώμεθα. Ὁ περισσεύων ἐν τοῖς πόνοις, χαιρέτω μᾶλλον, ὡς πλεονεκτῶν ἐν τοῖς μισθοῖς· ὁ δειλαινόμενος μαστίγων ἐνεγκεῖν πόνους, διὰ τοῦτο ἀποσειέτω τὸ δέος, τὰς αἰωνίους ἀνίας ἐννοούμενος. Αἱ γὰρ πληγαὶ αὐτῶν πρὸς ἐκείνας ὄναρ, δέλη νηπίων. Ναὶ δέομαι, ἀντιβολῶ· γ λ υ κ α ν θ ῶ μ ε ν ἐν τ ο ῖ ς ὑ π ὲ ρ Χ ρ ι σ τ ο ῦ ἀ λ γ ή μ α σ ι· κἂν λίαν ὀδυνηρὰ κατὰ σάρκα. Ἀναθεωρῶμεν τὰ μέλλοντα καὶ μένοντα· ἀλλὰ

μὴ τὰ παρόντα καὶ παρερχόμενα. Ποθήσωμεν τὸ αἷμα ἡμῶν μίξαι τῷ τῶν μαρτύρων αἵματι· τὸ μέρος ἡμῶν τῇ τῶν ὁμολογητῶν μερίδι· ἵνα χορεύσωμεν σὺν αὐτοῖς αἰώνια. Τίς φρόνιμος; τίς σοφός; τίς καλὸς πραγματευτής, δοῦναι αἷμα καὶ λαβεῖν πνεῦμα· καταφρονῆσαι σαρκὸς καὶ ἐπιτυχεῖν βασιλείας Θεοῦ; Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν, εἶπεν ὁ Κύριος. καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ αἰῶνι τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐνωτισθῶμεν τοὺς λόγους αὐτοῦ· ἀκολουθήσωμεν αὐτῷ· ὅπου εἰμὶ ἐγώ, φησί, ἐκεῖ ἔσται καὶ ὁ διάκονος ὁ ἐμός. Ποῦ ἐκεῖνος; ἐπὶ σταυροῦ· καὶ ἡμεῖς οἱ ταπεινοί, ὡς μαθητιῶντες αὐτῷ, ἐκεῖ. Παρακαλῶ ὑμᾶς ἀνέχεσθαι τοῦ λόγου τῆς παρακλήσεως. Καὶ γὰρ διὰ βραχέων ἡ ἐπιστολή.

Γινώσκετε ἡμᾶς τοὺς ἁμαρτωλοὺς χαίρειν, ἀλλ' οὐκ, ἀθυμεῖν, ἕως ἂν ὑμεῖς μόνον στήκετε ἐν Κυρίῳ. Ἀσπάζεσθαι ὑμᾶς Νικόλαος ὁ σύγκλειστος καὶ σύμπονος καὶ συστρατιώτης μου, ὑμῶν δὲ ἀδελφὸς ἀληθέστατος. Ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ· οἱ ἀθληταὶ τοὺς συναθλητάς· οἱ δεδιωγμένοι τοὺς δεδιωγμένους· οἱ πάντες τοὺς φιλοῦντας ὑμᾶς ἐν πίστει. Εἴ τις οὐχ ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐγγραφόμενον σώματι, ἤ τ ω ἀ ν ά θ ε μ α ἀ π ὸ τ ῆ ς ἁ γ ί α ς Τ ρ ι ά δ ο ς. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ μεθ' ὑμῶν, ἀμήν.

P.G. 99, 1229 D — 1233 B

* * *

Θεόδωρος τοῖς διὰ Κύριον ἐν διαφόροις φυλακαῖς τηρουμένοις ἀδελφοῖς ἀγαπητοῖς χαίρειν(*).

7β

Τί τὰ παρόντα; χαρὰ καὶ ἀγαλλίασις· ὅτι ἐν τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις ἀναθλεῖν ἠξιώμεθα· ὅτι φυλακαῖς τε καὶ θλίψεσι διὰ τὸν λόγον τοῦ Θεοῦ παρεδόθημεν· ὅτι πληγαῖς τε καὶ ὕβρεσι διὰ Χριστὸν τὸν ὑπὲρ ἡμῶν μαστιχθέντα καὶ ὀνειδισθέντα· ἔπειτα καὶ σταυρωθέντα ὑπεβλήθημεν. Τίς οὐκ αἰνέσειε; τίς οὐ δοξάσειεν;

Ἀνατολὴ ἥδεται, Δύσις εὐφραίνεται· πᾶσα ἐκκλησία τῆς τετραπεράτου κτίσεως ἀγάλλεται. Καὶ τί λέγω τὸν περίγειον κόσμον; ὁ οὐρανὸς αὐτὸς θυμηδίας πεπλήρωται· ὅτι οὐ μόνον ὁ κορυφαῖος τῶν καθ' ἡμᾶς ἱεραρχῶν, ἱεράρχαι τε καὶ ἱερεῖς, καθηγεμόνες τε καὶ ποιμένες, ἀλλὰ καὶ μονάζουσαι σὺν προεστώσαις, εἵλοντο τὰ τῆς μαρτυρίας σκάμματα. Ἐῶ λέγειν τοὺς ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις, ἐκ φυγαδείαις θλιβομένους, ὑστερουμένους, κακουχουμένους διὰ τὸν ὑπὲρ Χριστοῦ διωγμόν. Εἰκότως οὖν, ἀδελφοί μου ἠγαπημένοι καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, χαίρω καὶ συγχαίρω ὑμῖν· τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. Παύλου μὲν τοῦ μακαρίου αἱ φωναί· τῷ καιρῷ δὲ πρέπουσαι ἐπειδὴ εἰς ἡμετέραν νουθεσίαν πάντα γέγραπται καὶ μιμητὰς αὐτοῦ ἐκλιπαρεῖ γίνεσθαι ἡμᾶς.

Πρῶτον μὲν ἐκεῖνο ἀληθὲς εἰπεῖν· ὅτι οὐχ ὅσον προαιροῦνται καὶ βούλονται οἱ κακοῦντες ἡμᾶς, ταῖς θλίψεσι καὶ περιστάσεσι παραδιδόμεθα. Οὕτω γὰρ ἂν ἀνύποιστος ἦν ἡ πεῖρα· καθὰ καὶ ἡ παρὰ τῶν δαιμόνων ἀοράτως ἡμῖν προσβάλλουσα· ἀλλὰ καθ' ὅσον παραχωρεῖ ὁ ἀγωνοθετῶν καὶ συναθλῶν ἡμῖν Χριστός, μέτρῳ καὶ σταθμῷ τῆς ἑκάστου δυνάμεως, ἐν κρίσει δικαίᾳ τοὺς ἀγῶνας ἐπαφείς, ἢ εἰς ἔκτισιν ἁμαρτιῶν· εἰ καὶ αὐθαιρέτως ἤκομεν πρὸς τὸ πάσχειν· ἢ ἐπὶ στεφάνων ἀθλοφορικῶν ἀμοιβὴν ἐκ δόξης εἰς δόξαν προερχομένοις. Μὴ γὰρ ὡς Πέτρος ἢ Παῦλος σὺν τοῖς ὁμοταγέσιν, ἢ Γεώργιος καὶ Θεόδωρος σὺν τοῖς ὁμοκλεέσιν, ἢ Θέκλα καὶ Φεβρωνία σὺν τοῖς ὁμοδόξοις, βεβασανίσμεθα; οἷς πολὺ ἀγαπήσωμεν ἀναλόγως περιέσσευσε καὶ τὰ τοῦ Χριστοῦ παθήματα δεδωρημένα. Οἷς δὲ τὸ τῆς ἀγαπήσεως ὀλίγον, ἐνδεέστερον καὶ τὸ πάσχειν· ὥστε λυπεῖσθαι καὶ δυσφορεῖν, ὅτι μὴ πολλὰ πανθάνομεν· οὐκ ἀλλοιοῦσθαι δεῖν καὶ ἀποκάμνειν ἐν οἷς μετρίως ἐσμὲν τιμωρούμενοι.

Εἰ δὲ ἐκπέσοιμεν, ὅπερ ἀπείη καὶ ἐννοεῖν, οὐ παρὰ τὴν θεόκριτον ἐπαφήν· παρὰ δὲ τὴν τοῦ καταμαλακισθέντος ἀτονίαν καὶ ἀκαρδίαν καὶ ἀθεΐαν. Ὁ μὲν γὰρ δέδωκε τὸ ἰσχύειν κατὰ τοῦ πονηροῦ κράτους, νικηφόρον βουλόμενος τὸν ἀγωνιστὴν ἔσεσθαι· ὁ δέ, ὀλιγωρία ρίψας τὰ τῆς ὑπομονῆς ὅπλα, ὤλετο. Μάρτυς τοῦ λόγου ὁ κράζων· «πιστὸς ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθε ὑμᾶς ὑπενεγκεῖν». Ὧδε ἡ ὑπομονή, ἀδελφοί· ὧδε οἱ θεόπλοκοι

στέφανοι τῆς εὐπιστίας. Μὴ οὖν ἐπαισχυνθῶμεν τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν· μηδὲ ἀπολειφθῶμεν Θαδδαίου τοῦ νεολέκτου μάρτυρος καὶ τῶν συνομολογησάντων καὶ συνεκδημησάντων ὀπίσω αὐτοῦ ὧν ἴστε δὴ τὰ ὀνόματα.

Αἵματι μαρτύρων ἠδρεύθη καὶ νῦν ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἐπεὶ καὶ ἀρδεύεται διὰ τῶν ἤδη ἀθλούντων καὶ πολυτρόπως ἐκπιεζομένων ταῖς θλίψεσιν. Αἷμα κενοῖ ὁ καθειγμένος, ὁ μεμονωμένος, ὁ στενοχωρούμενος, ὁ ἀφηρπασμένος ἐκ παντὸς προσώπου, ὁ ὑστερούμενος τῶν κατὰ χρείαν, ὁ πεινῶν, ὁ διψῶν, ὁ μὴ τὴν τοῦ ἡλίου ἀκτῖνα δεχόμενος, καθημέραν ἀποθνήσκων, ὡς βοᾷ Παῦλος, καὶ ὅλην τὴν ἡμέραν θανατούμενος, ὡς ᾄδει Δαβίδ. Ἀλλ' εἰ ἀποθάνωμεν καὶ συζήσομεν Χριστῷ· εἰ ὑπομείνωμεν, καὶ συμβασιλεύσομεν αὐτῷ. Ἐν τοῖς ἄνω χρόνοις ἐξελέξατο ἡ χάρις οὓς ἐξελέξατο εἰς τὸ Χριστοῦ μαρτύριον. Κατὰ γενεὰν καὶ γενεὰν ἀγίσχουσι μάρτυρες. Ἀνάγκη γὰρ ἐλθεῖν τὰ σκάνδαλα, ὁ Χριστὸς ἔφησεν, ἵνα οἱ ἐκλεκτοὶ λάμψωσιν ἡλιοειδῶς καὶ τὰ ζιζάνια φανερὰ γένηται νυκτοειδῶς.

Γενοίμεθα, ὦ ἀδελφοί, ἐν τῇ γενεᾷ ταύτῃ τῇ σκολιᾷ καὶ διεστραμένῃ, ὡς φωστῆρες αὐγάζοντες ἐν σκοτομήνῃ τῆς αἱρέσεως· καθὰ ἡμᾶς ἐξελέξατο Χριστὸς εἰς καύχημα αὐτοῦ, εἰς κλέος Ὀρθοδοξίας. Ὡς ἡμῖν οἱ ἀνέκαθεν, οὕτως ἡμεῖς τοῖς μετέπειτα στηριγμὸς καὶ ὑπογραμμὸς ὑποδειχθείημεν· καὶ εἰς ἡμέραν Χριστοῦ εὑρεθείημεν χορεύοντες. Καίτοι γε τῶν προσεχῶν ἡμεῖς μᾶλλον φανερώτερον τὸ μαρτύριον ἔχομεν. Οὐδὲ γὰρ περὶ τῶν ἐν Χριστῷ φύσεων ἢ θεληματῶν, καὶ ὅσα πρὸς τούτοις ἀμφισβητούμενα· ὧν ἡ διαμάρτησις κατὰ τὰ νοήματα οὖσα, οὐδὲν αἰσθητῶς παρεῖχε τὴν ἀπόδειξιν· νῦν δὲ σὺν τοῖς νοήμασι καὶ κατ' ὀφθαλμοὺς τὸ ἀμφισβητούμενον, ἤτοι ἀσεβούμενον...».

M. P.G. 99, 1180 B — 1181 D

Τοῖς διὰ Κύριον πεφυγαδευμένοις πνευματικοῖς ἁγίοις μου πατράσι, Θεόδωρος ἐλάχιστος πρεσβύτερος καὶ ἡγούμενος τῶν Στουδίου, ἐν Κυρίῳ χαίρειν(*).

7γ

Καὶ ἀφ' ἑνὸς τοῦ ὀρθοδόξου τὸ δέξασθαι γραμματεῖον ἐν ταῖς χαλεπαῖς ἡμέραις ταύταις, μὴ ὅτι γε ἐκ πολλῶν ἐπὶ τὸ αὐτὸ συνεληλυθότων, ξένον πως τῷ καιρῷ, ὡς ἐν χειμῶνι πολύφυλλον ρόδον, καὶ τῇ ἐμῇ ταπεινώσει χαρίεν ὅτι μάλιστα· ὥστε ἀπ' αὐτῆς τῆς προγραφῆς σκιρτῆσαι μου τὸ πνεῦμα καὶ ἀνθομολογήσασθαι Κυρίῳ τὰ εἰκότα· ὃς καὶ ἐν τῷ παρόντι Ἀχαϊκῷ διωγμῷ, κατέλιπεν ἑαυτῷ τοσούτους μὴ κύψαντας γόνυ τῇ Βάαλ. Οἶμαι γὰρ τῶν τηνικαῦτα ἰσαρίθμους εἶναι τοὺς νῦν ἀκαμπεῖς· οὐ μόνον διὰ τῶν εἰς προῦπτον κειμένων ἐξ ὁμολογίας, ἀλλὰ γὰρ καὶ διὰ τῶν ὧδε κἀκεῖσε διασεσωσμένων, ἐν ἐρημίαις καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ἀποστολικῶς εἰπεῖν· καθάπερ καὶ τὴν ὑμῶν ὁμάδα τὸ τρικόρυφον ὄρος ὡς τρισόλβιον κλέος φέρον ὡραΐζεται. Χάρις οὖν τῷ Θεῷ τῷ πλουτοῦντι ὑμᾶς σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ.

Ἐπαινῶ τὴν ἱερὰν φυγαδείαν ὑμῶν· ὑμνῶ τὴν ὀρεινὴν συνοικίαν ὑμῶν· ὅτι εἰ καὶ τληπαθής, ὅμως θεοποιός...

Ἀλλὰ ἐπὶ τὰς προτάσεις ὁ λόγος. Τινὲς ἐξ ἰδίας προαιρέσεως ὑπέκυψαν, ἄνευ τοῦ καταναγκάζοντος· ἄλλοι μετὰ πληγῶν· ἄλλοι δ' ἀπειλῆς καὶ μόνης· ἕτεροι ἄνευ ἀπειλῆς καὶ βασάνων, δέει καὶ μόνον· ἄλλοι διὰ τὸ μὴ ἐκπεσεῖν τῶν ἰδίων, τινὲς δὲ καὶ κατ' ἄγνοιαν. Τούτους ἐπιστρέφοντας πῶς δεῖ ἀποδέχεσθαι; ἐπιδεικνυμένους δηλαδὴ ἀξίους καρποὺς τῆς μετανοίας ἅπαντας. Τίνες δὲ οὗτοι; Ἀποχὴ τῶν ἁγιασμάτων μετὰ προσκλαύσεως καὶ ἐπιπόνου δεήσεως· ἐπὶ μὲν τῶν πρώτων τριετίζουσα· ἐπὶ δὲ τῶν δευτέρων, διετίζουσα· ἐπὶ τῶν τρίτων καὶ τετάρτων καὶ πέμπτων, ἡ τῶν πρώτων· ἐπὶ τῶν ἕκτων, ἐνιαυσιαία. Μετὰ τὴν ἐκπλήρωσιν πῶς δεῖ ἔχειν αὐτούς; Εἰ μὲν ἐξ ἱερατικοῦ πληρώματος, καὶ οὐχ ὑπέγραψε, μηκέ-

* Βλέπε σχετικῶς κεφ. Ε' τοῦ Α' Μέρους.

τι μετέχων τῆς ἀσεβοῦς κοινωνίας, ὡς ἐν ᾧ ἐτέτακτο κλήρῳ· οἱ δὲ καὶ ὑπογράψας, εἴη ὡς εἰργόμενος τῆς ἱερουργίας ἕως ὀρθοδόξου συνόδου· κοινωνῶν δ' οὖν ὅμως τῶν ἁγιασμάτων.

Τοῖς πάντῃ ἀσεβέσιν εἰ ἔξεστι κατὰ ἀνάγκην δέους ἕνεκα, ἢ διὰ λιμόν, ἢ καὶ ἄνευ ἀνάγκης, ἢ καὶ διὰ βίαν ἄλλοις κοινωνοῦσιν, ὀρθόδοξοι δὲ αὐτοὺς ὁμολογοῦσι, συνεσθίειν; Οὐδαμῇ οὐδαμῶς· εἰ μή τι γε τοῖς ἐσχάτοις, οὐκ ἀδιαφόρως, ἀλλ' ἐξ ἀναγκαίου τινὸς τρόπου, ἅπαξ ἢ δίς. Εἰ τῶν τούτοις ἐδωδίμων τὰ λείψανα ἐσθίειν κατὰ ἀνάγκην, ἢ καὶ ἄνευ ἀνάγκης, διότι προεσχημάτισται ἐν αὐτοῖς ὁ σταυρός; Εἰ μὲν παρὰ ἱερέως, οὐδαμῶς· εἰ δὲ μή, μεταληπτέον κατὰ βίαν.

Εἰ δὲ εἰς εὐκτήριον αὐτῶν εἰσέρχεσθαι εὐχῆς χάριν καὶ εἰ δεῖ τὴν ἁγίαν ἀναφορὰν ἐν αὐτῷ ἐπιτελεῖν μετὰ ἰδίας τραπέζης; Οὐδαμῶς ἑκάτερον. Εἰ δεῖ χαίρειν αὐτοῖς λέγειν καὶ ἀσπάζεσθαι; Οὐδαμῶς, ὥς φησιν ὁ Μ. Βασίλειος. Ὁ Κύριος ἐκώλυσε τὸν κοινὸν ἀσπασμόν. Ὥστε τοῦτο κατὰ σύμβασιν· ὡς δὲ ἐξ ἀγάπης καὶ φιλίας, φευκτέον, ἵνα πληρωθῇ ἐν τούτῳ: «οὐκ ἔστι λέγειν χαίρειν τοῖς ἀσεβέσιν».

Εἰσι τινες τῶν μοναστηρίων, οἵ οὔτε λόγῳ, οὔτε ἔργῳ συνῆλθον φυγῇ τὴν σωτηρίαν ποριζόμενοι· καὶ πάλιν μετὰ τὴν ὑποχώρησιν τῶν ἀσεβῶν, ἀνθυποστρέφοντες. Εὖ ἂν ἔχοι. Εἰ δὲ καὶ ἐλειτουργήθη ἡ Ἐκκλησία ὑπὸ τῶν ἀσεβῶν, εἰ μὴ ἅπαξ, εἰσίτωσαν ἐπιτελοῦντες ἐν αὐτῇ τὰς προσευχὰς μόνον· εἰ δὲ πολλάκις, ὑποχωρείτωσαν ταύτης πόρρω.

Κοσμικοί τινές εἰσιν ἢ καὶ μοναχοί, σφοδρῶς μυσαττόμενοι, ἢ καὶ ἀποδυρόμενοι τὴν ἀσέβειαν· διὰ δὲ τὰς ἀπειλὰς τῶν ἀθέων προσέρχονται τῇ αὐτῶν κοινωνίᾳ, οἰόμενοι αὐτὴν δηλητήριον εἶναι, αἰτοῦνται δὲ εὐχὴν ὑπὲρ αὐτῶν ἡμᾶς ποιεῖσθαι. Εἰ ἔξεστιν αὐτοῖς μεταδιδόναι τῶν θείων μυστηρίων;

Εὐχὴν μὲν ποιεῖσθαι ἐξόν, οὐ μὴν μεταδιδόναι, κἂν ὅ,τι λέγωσιν ἢ πράττωσιν.

Σταυροὺς ἐὰν ἱστῶσι κατὰ τὰς λεωφόρους, εἰ δεῖ προσκυνεῖν; Οὐ κωλυτέον.

Εἰ δεῖ τῶν τοιούτων τὰς προσφορὰς προσκομίζειν; Οὐδαμῶς.

Ταῦτα οὖν, ὡς ὁ Κύριος κατὰ νοῦν ἐπήγαγεν ἡμῖν, ἐφθεγξάμεθα· οὐ νομοθετικῶς, ἐπεὶ μηδὲ ἐσμὲν τῶν ἱεραρχούντων· ἀλλὰ

συμβουλευτικῶς, ἐπεὶ ἐσμεν ὑμῖν ὁμοταγεῖς καὶ ἐπειδὴ ἐξ ἀπορίας τῶν ἱεραρχικῶς ὀφειλόντων τυπῶσαι· ἀναγκασθέντες ἀφ' ἡμῶν ἐληλύθαμεν εἰς τοῦτο. Ὑμεῖς δὲ ἁγιώτατοι πατέρες, σύγγνωτε, εἴ τί ἐστιν ἀπαρέσκον ὑμῖν ἐν τοῖς εἰρημένοις. Πλὴν ὅτι ὁ ἰατρὸς καὶ ψυχῆς καὶ σώματος καὶ προσώπου ποιότητα, καὶ καιροῦ ἰδιότητα, ἕξιν τε καὶ πάθος, δύναμίν τε καὶ ἀδράνειαν ἐπιτηροίη· καὶ οὕτω φαρμακεύοι καὶ ἰᾶται· ἐλλείψεσι καὶ προσθήκαις χρώμενος· ἃ ἐν κεφαλαίῳ περιλαβεῖν οὐχ οἷόν τε κανονικῶς, ὡς καὶ αὐτοὶ οἱ ἅγιοι Πατέρες ὡρίσαντο.

P.G. 99 1256 B — 1260 B



Ἐκ τῆς ἀπολογίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωσὴφ πατριάρχου Κων)λεως[1], *συνταχθείσης ὑπὸ τοῦ ἱερομονάχου καὶ ὁμολογητοῦ Ἰὼβ τοῦ Ἰασίτου καὶ τὸν Τόμον ἀναιρούσης τοῦ αὐτοκράτορος Μιχαὴλ Παλαιολόγου τοῦ ἀζυμίτου, καθ' ὃν (τόμον) πάντα τὰ τῶν Λατίνων «ἀκαταιτίατά» εἰσιν*[2].

8

«...Ἐπεὶ γὰρ ἐρώτησις προέβη ἀπαιτοῦσα ἡμᾶς εἰπεῖν, ἐν ποίᾳ τάξει ἔχομεν τοὺς Ἰταλοὺς τῶν παρὰ τῷ μεγάλῳ Βασιλείῳ διαιρουμένων τοῦ κοινοῦ ἐκκλησιαστικοῦ σώματος, ἐν τῇ τῶν αἱρετικῶν, ἐν τῇ τῶν σχισματικῶν, ἢ ἐν τῷ τῶν παρασυναγωγὰς ποιούντων· ταύτας γὰρ τὰς διαφορὰς ἐν τούτοις ὁ μέγας ἐκεῖνος εἶναι φησί, μηδὲν δὲ ἀπὸ κοιλίας φωνεῖν προετράπημεν, ἀλλ' ἐκ τῶν θεοφόρων πατέρων καὶ τῶν θείων Κανόνων καὶ νόμων, τοῦτο δὴ καὶ ποιησόμεθα πάντως· καὶ ὅσα οἱ νόμοι καὶ οἱ Κανόνες καὶ οἱ θεῖοι πατέρες εἰς τὸ προκείμενον συμβαλλόμενα ἐξεφώνησαν, ταῦτα δὴ καὶ προθήσομεν καὶ δειχθήσεται. Οὔδαμεν γὰρ τοῦτο καὶ προδιαγγέλλομεν, ὅτι ἐν τῇ πρώτῃ τάξει τῶν ἄνωθεν ἀπηριθμημένων, τῶν ἀποβάλλεσθαι δὴ παντάπασιν ἀξίων καὶ οἱ Ἰταλοὶ τάττεσθαι καθεστήκασιν ἄξιοι» (φ: 36).

»Ἡ δὲ περὶ τοῦ ὀνόματος τοῦ πάπα ἀναφορά, εἴρηται μὲν ἡμῖν ἀνωτέρω πολλάκις, καὶ ἀ π ο φ ε υ κ τ έ α καὶ ἀ π ο τ ρ ό π α ι ο ς ἀποδέδεικται...

Πλὴν τί κοινὸν τῷ ὑπερεύχεσθαί τινος καὶ τῷ συντάττειν τοῦτον ἐθέλειν τοῖς ἀρχιερεῦσι Θεοῦ; πάντων γὰρ ὑπερεύχεσθαι καὶ τῶν ἀπίστων ὁμολογῶ, οὐ μὴν πάντας ἀδιαφόρως τοῖς ἱερουργοῖς

1. Ἐπατριάρχευσεν οὗτος κατὰ τὰ ἔτη 1267 - 1275 καὶ 1282 - 83.
2. Βλέπε σχετικῶς κεφ. Ζ' τοῦ Α' Μέρους.

συντάττειν Θεοῦ, καὶ μὴ διακρίνειν ἀναμέσον βεβήλου καὶ καθαροῦ· τοῦτο γὰρ οὐχ ὅπως ἐπὶ τῶν ἀπίστων, ἀλλ' οὐδὲ ἐπὶ τῶν πιστῶν καὶ ὀρθοδόξων ἀπαρατηρήτως δοθήσεται. Οὐ τοίνυν παραιτούμεθα τὴν ὑπὲρ τῶν ἀσεβούντων εὐχήν, μὴ γένοιτο· ἀλλὰ τὸ συνάπτειν τούτοις τοῖς εὐσεβέσιν, μὴ εὐσεβοῦντας, καὶ διὰ τῆς αὐτῶν ζύμης κ α τ α χ ρ α ί ν ε ι ν τὴν ἐκκλησίαν, ἣν μηδὲν ἐπιφέρεσθαι αἰγυπτιακοῦ καὶ ἀθέου φυράματος προτρέπει· ἡ ἐντολή, ὡς ἀνοίκειόν τε καὶ καταδίκης πρόξενον ἀποφεύγομεν· οὐκ ἀφ' ἑαυτῶν καὶ τοῦτο ποιοῦντες ἀλλ' ἀπ' αὐτοῦ τοῦ Σωτῆρος καὶ τῆς τῶν ἁγίων διδασκαλίας λαμβάνοντες· ἐὰν γάρ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζῃ σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καὶ ἐὰν ἡ χείρ σου ἡ δεξιά, ἢ ὁ πούς σου σκανδαλίζουσί σε, ὁμοίως καὶ τούτων ποιοῦ τὴν ἀποβολήν· κρεῖττον γὰρ ἐστερημένους τούτων τῆς βασιλείας ἀπολαβεῖν ἢ μετὰ τούτων τὴν γέενναν. Ὁρᾷς πῶς ἡμᾶς εἰς γέενναν ἰέναι ἡ ἀψευδὴς φωνὴ μαρτυρεῖ συναπτοίμεθα τοῖς σκανδαλίζουσιν ἡμᾶς ὁμοπίστοις καὶ ἀδελφοῖς; τούτους γὰρ μέλη φησὶν ὁ Χρυσόστομος τὸ τοιοῦτον ἐξηγούμενος ρητόν, κατὰ τὸ «ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους». Τοὺς οὖν τοιούτους περὶ τὴν ὁμολογίαν σφαλέντας φησί, καὶ τοὺς λοιποὺς σκανδαλίζοντας, χρεὼν ἀποκόπτειν καὶ ἀπορρίπτειν μακράν, μηδὲν αὐτοῖς κοινωνοῦντας, ἵνα μὴ σὺν αὐτοῖς ἐν γεέννῃ κατακριθῶμεν καὶ ἐκπέσωμεν τῆς βασιλείας, ἣν ἄνευ τούτων ἐκληρονομήσαμεν ἄν, ὡς μαρτυρεῖ ἡ αὐτοαλήθεια.

Μνημονεύειν δὲ χρὴ καὶ τῶν ἀνωτέρω ρηθεισῶν τοῦ μεγάλου τούτου Χρυσοστόμου παρεγγυήσεων· τὸ μὴ ὑποκύπτειν αὐτοῖς ἐν βρώσει ἢ πόσει, ἢ ἀγάπῃ, ἢ εἰρήνῃ, ἢ σχέσει τῇ οἱαδήτινι, μηδὲ χαίρειν λέγειν· ὁ γὰρ λέγων χαίρειν, κοινωνεῖ τοῦ ἔργοις αὐτῶν τοῖς πονηροῖς καὶ ἐχθρὸς τοῦ Θεοῦ καὶ ἀλλότριος τῆς ἁγίας ἐκκλησίας καθίσταται. Τί γοῦν ἐναντιοῦται ἑαυτῷ ὁ Χρυσόστομος; μὴ γένοιτο· ἀλλ' ἢ ὡς ἄνωθεν ἐδηλώθη, τῷ ἁγίῳ ὁ σκοπὸς καὶ ἡ ἔννοια· ποῖον γὰρ δώσει τις συμφωνεῖ τὸν Χρυσόστομον ἑαυτῷ, ἢ μάχεσθαι; πάντως συμφωνεῖν· τὸ γὰρ ἀπόφημον φευκτέον ὡς μηδ' ἐν ὑποθέσει κατὰ τῶν ἁγίων τίθεσθαι ἄξιον. Ἀλλὰ καὶ πάλιν ὁ μέγας Παῦλος καὶ τὸ «ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ ἐξουσίᾳ διὰ τὸν Κύριον»· ὑ π ο τ ά γ η τ ε ο ὖ ν ε ἶ π ε ν, ο ὐ σ υ γ κ ο ι ν ω ν ή σ α τ ε· ὑποτάγητε, οὐκ εἰς ἱερωμένους τοὺς ταύτας ἐγκεχειρισμένους λογίσασθε· σ ω μ α τ ι κ ῶ ς ὑ π ο τ ά γ η τ ε

μὴ κατὰ πνεῦμα· μὴ τῇ τούτων προστίθεσθε πίστει· μὴ κρίσιν ἱερῶν προσώπων αὐτοῖς ἐπιτρέψητε· τολμᾷ γάρ τις κρίνεσθαί φησιν ἀλλαχοῦ ἐπὶ τῶν ἀδίκων καὶ οὐκ ἐπὶ τῶν ἁγίων· ὑποτάγητε διὰ τὸν Κύριον εἶπεν, οὐκ ἐν οἷς ἡ ὑποταγὴ τοῦ Κυρίου μου ἀποκόπτει με· οὕτω μοι ἐκλαβέσθω τις καὶ τό· «πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω» ἐκ τῆς ψυχῆς συνεκδοχικῶς τὸν ὅλον ἄνθρωπον τοῦ λόγου δηλοῦντος κατὰ τὸν θεολόγον Γρηγόριον· τοῖς δὲ ψευδαδέλφοις, οὔμενουν οὐδὲ πρὸς βραχὺ ὑπόκυψαι ὁ Παῦλος ἑαυτὸν διατείνεται· οὐδὲ γὰρ πρὸς μικρόν φησιν ὑπετάγημεν τῇ τῶν ψευδαδέλφων ὑποταγῇ, ψευδαδέλφους ἀποκαλῶν τοὺς μὴ κατὰ Θεὸν ἀδελφότατα πλουτοῦντας καὶ τὸ τῆς αὐτῆς ὁμολογίας ὁμογενητικὸν καὶ ὁμόγνωμον. Ἆρ' οὐδ' αὐτὸς ὑποκείψω τῷ πάπα τὸν ἐμὸν μιμεῖσθαι ὀφείλων διδάσκαλον, οὐδὲ συντάττεσθαι αὐτὸν ἐμοί τε καὶ τοῖς λοιποῖς ἁγιωτάτοις πατριάρχαις κατὰ τὸ μνημόσυνον καταδέξομαι, οὐχ ὅτι ἀκατάδεκτος, ἵνά τι καὶ δημοτικώτερον εἴπω, ἀλλ' ὅτι ἐκεῖνος ἀθετητὴς καὶ ψευδάδελφος. Οὐ πρῶτον ἱερέων εἴπω, Θεοῦ, οὐχ ἡγεμόνα ψυχῶν, θεῷ νυμφευθεισῶν διὰ πίστεως·[3] τὸ γὰρ κατάρχειν ἱερέων, πνευματικόν,

3. Εἶναι ἀληθῶς νὰ φρίττη κανεὶς ὅταν ἀναλογίζεται πῶς ἐπίστευον καὶ ἀπεκάλουν τὸν παπισμὸν οἱ ἀοίδιμοι πατέρες ἡμῶν, —καὶ μάλιστα προτοῦ φθάση εἰς τὸν σημερινὸν κολοφῶνα τῆς κακίας καὶ αἱρέσεώς του— καὶ πῶς οἱ σημερινοὶ διάδοχοί των. Ἀπόδειξις τρανωτάτη ὁ παρὼν ἅγιος Ἰωσήφ, πατριάρχης Κων/λεως, ὑπὸ τοῦ ὁποίου ὁ πάπας χαρακτηρίζεται: «ἀθετητής», «ψευδάδελφος», «μὴ ὀρθοτομῶν τὸν λόγον τῆς ἀληθείας», «οὐχ ἡγεμὼν ψυχῶν», «οὐ πρῶτος ἱερέων Θεοῦ», διὸ καὶ προτρέπει μεγάλῃ τῇ φωνῇ τοὺς πιστούς του ὅπως ἀπέχουν τῆς «ψώρας» καὶ «λοιμικῆς νόσου» καὶ τοῦ «μιάσματος τῶν Ἰταλῶν», «οἵτινες ἐν σκότει διαπορεύονται»! Καὶ καταλήγει: «Ἐὰν συγκαταβῆτε Λατίνοις, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει».

Διὰ τὸν σημερινὸν ὅμως διάδοχον τοῦ ἁγίου Ἰωσὴφ Δημήτριον τὸν Α', ὁ πάπας θεωρεῖται: «πρῶτος ἐν τῇ καθόλου Ἐκκλησίᾳ τοῦ Χριστοῦ», «σεβάσμιος καὶ ἁγιώτατος ἀδελφός», ὁ δὲ παπισμός: ἁγία, σεβασμία καὶ συμμάρτυς τῆς ἀποκαλυφθείσης ἀληθείας Ἐκκλησία, ὄργανον σωτηρίας τῶν ἀνθρώπων ὡς καὶ ἡ Ὀρθοδοξία, παρέχουσα ἤτοι ἀληθῆ μυστήρια κλπ!!! (Βλέπε σχετικῶς ἡμέτερον: «Ὄντως ἀξιοκατάκριτος καὶ σάλπιγξ κακοδοξίας», Ἀθῆναι 1975, σσ. 10, ὡς ἐπίσης «Ἐπίσκεψιν» 7 Ὀκτ. 1975,

οὐ σωματικόν· τὸ δὲ συντετάχθαι τοῖς ἀρχιερεῦσιν, ἱεραρχικὸν ἀλλ' οὐ κοσμικόν· τὸ δὲ καθαιρεῖν ἢ καὶ ἀνορθοῦν ἱερέας, τῆς πνευματικῆς ἐξουσίας, οὐκ ἐξωτερικῆς ἀρχῆς γνώρισμα.

Πῶς δὲ κατειρωνεύεσθαι δοίη τις εὐσεβῶν, τὰς πρὸς Θεὸν ἐν τῇ φρικτῇ ἁγιστείᾳ ἀναφερομένας φωνάς, ἐναντίας τοῖς οἷς πράγμασι προσαρμόζονται; πρῶτον γὰρ ἐκφωνοῦντος τοῦ τὴν θυσίαν τελεταρχοῦντος τὸ τοῦ οἰκείου ἀρχιερέως ὄνομα, καὶ χαρισθῆναι τοῦτον τῇ ἐκκλησίᾳ, σῷον, ἔντιμον, ὑγιῆ, μακροημερεύοντα, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, οὕτως ὁ διάκονος τὴν τῶν ἁγίων πατριαρχῶν ἀπαρίθμησιν ἐκφωνεῖ, ὡς ὀρθοτομούντων δηλαδὴ τὸν λόγον τῆς ἀληθείας καὶ ταυτογνωμονούντων τῷ τὴν θυσίαν προσφέροντι. Ἢ τοίνυν δεῖξον τὸν πάπαν ὀρθοτομοῦντα τὸν ὑγιαίνοντα λόγον, καὶ τοῖς ὁμοίοις συναρίθμει καὶ σύνταττε, ἢ δὸς ἀκατάκριτον τὸ μὴ τὴν ἀληθινὴν λατρείαν θεῷ προσφέρειν, ἀλλὰ κατειρωνεύεσθαι ταῖς εὐχαῖς, καὶ λήψῃ δήπουθεν τὸ ζητούμενον. Ἀλλ' οὔτε τὸ πρῶτον δοίη τις ἄν, οἷς ὅτι ἀντιτάσσεται ὁ κάκτοῦ Υἱοῦ ἀνακεκραγὼς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, οὔτε πρὸς τὸ δεύτερον, εὖ οἶδα, συγκατανεύσοι τὸ βλάσφημον εὐλαβούμενος. Οἴχεται τοίνυν τῷ πάπᾳ τὸ μνημονεύεσθαι καὶ μετ' ἤχου ἐκκλησιαστικοῦ δηλαδὴ καὶ παμβοήτου κηρύγματος. Τοῦ γε μὴν Οὐάλεντος περὶ καὶ τῶν ἄλλων κακοπίστων αὐτοκρατόρων, ὧν οἱ τηνικαῦτα ὄντες ἀρχιερεῖς ὑπερηύχοντο, ἄνωθεν ἀπελογήσατο ὁ Χρυσόστομος, εἰς ἀντίδοσιν τὴν ὑπὲρ αὐτῶν εὐχὴν γίνεσθαι λέγων, τοῖς ὑπὲρ τῶν χριστιανῶν πρὸς τοὺς πολεμίους προκειμένων ἐκείνοις ἀγώνων καὶ τῆς φυλακῆς τούτων καὶ πρὸς εἰρηνικὴν κατάστασιν συντηρήσεως· ἄλλως τε καὶ ἐδείχθη ὡς οὐ ταὐτὸν τὸ ὑπόδειγμα τῷ ζητήματι· ζητεῖται γὰρ οὐχ ἵνα εὐχόμεθα, ἀλλ' ἵνα τὸν πάπα διὰ τοῦ μνημοσύνου τοῖς εὐσεβέσι συντάττωμεν ἀρχιποίμεσιν· ὃ πῶς ἔσται οὐκ οἶδα, ἐναντίον παντάπασιν ὂν καὶ αὐτῇ τῇ φύσει μαχόμενον· οὐ δὲ γὰρ πέφυκε πηγὴ μία, ἵν' εἴπω κατὰ

«Ὀρθόδοξον Τύπον» 1 Νοε. 1975, σ. 2 («Οἰκουμενιστικὴ ὁμολογία») καὶ Ἀθηναγόρα Λονδίνου, «Ὁμολογία Θυατείρων» σελ. 203 καὶ 4). Παρὰ ταῦτα οἱ ὀρθόδοξοι ἐπίσκοποι καὶ ὁ Μοναχικὸς κόσμος συνεχίζουν νὰ κοινωνοῦν τῷ Οἰκ. Πατριάρχῃ καὶ τῇ συνυπευθύνῳ συνόδῳ του ὡς νὰ μὴ συμβαίνῃ τίποτε!! Ὦ Κύριε, εἰς ποίους χρόνους τετήρηκας ἡμᾶς!...

τὸν Ἰάκωβον τὸν σοφόν, ὕδωρ βλυστάνειν ἁλικόν τε καὶ πότιμον· οὔκουν οὐδὲ μία Ἐκκλησία, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα, ἐκβλύσειε δόγματα. Ὁ δὲ Παῦλος γινόμενος τοῖς πᾶσιν τὰ πάντα —λῦσαι γὰρ καὶ τοῦτο χρεὼν— οὐχ ἵνα ἀπολέσῃ, ἀλλ' ἵνα σώσῃ πάντας, τοῖς πᾶσι τὰ πάντα ἐγένετο· οὐδ' ἐπὶ παραβάσει θείων θεσμῶν, ἀλλ' εἰς οἰκοδομὴν καὶ ὠφέλειαν· ἅπαξ γάρ τῶν τοιούτων τι οἰκονομήσας, τοῦ λοιποῦ ἐπαύθη· μηδὲ νόμον παραβαίνων καὶ τότε· μηδὲ ἀναθέματι ὑπεύθυνον ἑαυτὸν καθιστῶν, ὅπερ τίς τῶν ἁγίων τῶν πρὸ αὐτοῦ ἐκπεφώνηκεν· ἡμεῖς δὲ ἀεὶ ἐμπεδῶσαι τὰ ζητούμενα παρὰ τοῖς Ἰταλοῖς ἀπαιτούμεθα ὥστε καὶ ἀεὶ λατινίζειν διὰ τῆς οἰκονομίας αὐτῶν, οὐ καθὼς ὁ Παῦλος παῦσαι τὸν λατινισμὸν καὶ τὴν αἵρεσιν· ἐπεὶ καὶ περιέτεμεν ὁ Παῦλος καὶ ἐξυρίσατο καὶ ἡγνήσατο καὶ τῷ γενομένῳ, οὐ προσέχομεν, ὥς φησιν ὁ Χρυσόστομος, ἀλλὰ τῇ γνώμῃ καὶ τῇ αἰτίᾳ τοῦ γινομένου· καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν θαυμάζομεν· ἡ δὲ αἰτία, οὐχ ἵνα συστήσῃ πάντως, ἀλλ' ἵνα παύσῃ ταῦτα ἦν· καθὰ δὴ καὶ ἔπαυσε· καὶ τοσοῦτον, ὥστε καὶ μετὰ παρρησίας βοᾶν· «ἐὰν περιτέμνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσῃ»· ἐξ οὗ δῆτα καὶ δανεισαμένη τοῦτο ἡ μετριότης ἡμῶν, ἰδοὺ βοᾷ λαμπρῷ τῷ κηρύγματι μικρὸν παραλλάξασα· ὅτι ἐὰν τὰ ζητούμενα παραχωρήσητε τοῖς Ἰταλοῖς Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει· ἐπισυνάψει δὲ ἄρα καὶ τὸ ἑξῆς παρῳδήσασα, ὅτι ὁ μνημονεύων ὡς ἀρχιερέως τοῦ πάπα, ἢ ἔκκλητον τούτῳ διδούς, ἢ πρῶτον ἐν τοῖς ἀρχιερεῦσιν ἡγούμενος, ἔνοχός ἐστιν ὅλον τὸν λατινισμὸν ἐκτελεῖν· ἑορτάζειν τε Ἰουδαϊκῶς καὶ τὰ ἄζυμα δέχεσθαι καὶ μεταλαμβάνειν τούτων καὶ σαββατίζειν καὶ τὴν νηστείαν ἐξουδενεῖν· ἵνα δὲ καὶ τὸν κολοφῶνα τῶν κακῶν εἴπω καὶ βλασφημεῖν ἀθέως εἰς τὸ Πνεῦμα τὸ ἅγιον! Ἴδε ἐγὼ μετὰ Παύλου λέγω ὅτι ἐὰν συγκαταβῆτε Λατίνοις, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει! Καὶ ὡς ἐκεῖνος παντὶ ἀνθρώπῳ περιτεμνομένῳ μαρτύρεται, ὅτι ὀφειλέτης ἐστιν ὅλον τὸν νόμον ποιῆσαι, καὶ ὅτι κατήργηται ἀπὸ τοῦ Χριστοῦ, οὕτω κἀγώ· τῷ συγκαταβαίνοντι κατά τι τῶν ζητουμένων τῷ πάπᾳ, μαρτύρομαι ὅτι ὀφειλέτης ἐστὶ πάντα τὰ ἔθη καὶ πᾶσαν παράβασιν λατινικὴν διαπράττεσθαι· καὶ ὅτι κατήργηται ἀπὸ Χριστοῦ ὁ τοιοῦτος καὶ ἐκπίπτει τῆς χάριτος...

...»Ἆρ' οὖν οὐκ ἤκουσαν οὐδὲ ἐδιδάχθησαν Ἰταλοί, οὐδ' ὑπόμνησιν τῶν πεπλημελλημένων εἰλήφασιν; Μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν νουθετούντων αὐτοὺς δι' ὁμιλιῶν, διὰ γραμμάτων, διὰ τόμων ἐκκλησιαστικῶν καὶ συνοδικῶν, διὰ συνταγμάτων πολλῶν τε καὶ διαφόρων, ἃ καὶ συνοδικαῖς ἐπεκυρώθησαν διαγνώσεσι πατριαρχῶν, ἀρχιερέων, μοναστῶν, βασιλέων, τῶν ὧν ἡ σπουδὴ πάντων πρὸς οὐδὲν ἕτερον ἀποβλέπουσα ἦν, ἀλλ' ἢ πρὸς τὸ διορθωθῆναι τούτους καὶ παλινδρομῆσαι πρὸς τὴν εὐσέβειαν· ἀλλ' οὐκ ἐδέξαντο· οὐκ ἤκουσαν· οὐκ ἐπείσθησαν· οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν· ἐν γὰρ σκότει διαπορεύονται! Ἐγὼ δὲ ἔτι τοῦτο σύντομον ἐρῶ καὶ ἁπλοῦν· εἰ μὴ πεπληροφορήμεθα ἐς τὰς τῶν πατέρων διδασκαλίας, εἰ τὰ τῆς πίστεως κατέγνωμεν, εἰ μάταιον ἡγούμεθα τῶν ἀποστόλων τὸ κήρυγμα· εἰ τὰ μυστήρια τῆς ἡμῶν ἐκκλησιαστικῆς πολιτείας, λόγος ἄλλως ἐστὶ τῆς ἀληθείας ὡς ἐπίπαν ἀποπλαζόμενος, δεξώμεθα τοὺς Ἰταλοὺς καὶ τὰ σφίσι φίλα διαπραξώμεθα· εἰ δὲ πρὸς τὰ ὑποτεθέντα καὶ μέχρις ἀκοῆς δυσχεραίνομεν, ἀποπηδήσωμεν ὡς ἀπὸ ὄφεων καὶ αὐτῶν, ἵνα μὴ καπνὸν φεύγοντες λάθοιμεν εἰς φλόγα πεσόντες πυρὸς ψυχὰς δαπανῶσαν, οὐ σώματα...

Διὰ ταῦτα καὶ τὴν φωνὴν ἄρας καὶ εὐ μᾶλλα ὡς οἷόν τε διανυψώσας, ὡς καὶ περιηχῆσαι τὰ σύμπαντα, ἀναγγέλλω ὑμῖν πάσι τε καὶ ἅμα καὶ πάσαις, ἄρχουσι καὶ λαοῖς νέοις· πρεσβύταις· πολιτευομένῳ τε ὁπωσδήποτε καὶ στρατευομένῳ· μοναστῆς, μιγάσι, τοῖς τοῦ ἱερατικοῦ καταλόγου καὶ τοῖς τῷ ποιμεναρχικῷ σεμνώματι διαπρέπουσι· σκοπὸν γὰρ ἡμᾶς ἐν Ἰσραὴλ κατὰ τὸν Ἰεζεκιὴλ κρίμασιν οἷς οἶδε τέθεικεν ὁ Θεός, φυλάξασθε ἀπὸ τῆς ἐρχομένης ρομφαίας, οὐκ εἰς σωμάτων, ἀλλ' εἰς ψυχῶν ὄλεθρον καὶ ἀπώλειαν... φυλάξασθε ἀπὸ τοῦ μιάσματος τούτου παρακαλῶ, τοῦ τῶν Ἰταλῶν· μὴ προσάψωμεν ἑαυτοῖς τὸν ἐκ τούτων μιασμόν, καὶ ἀποστραφῇ ὑμᾶς ὁ τῶν ψυχῶν νυμφίος καὶ αἰωνίως καταισχυνόμεθα· μὴ δῶμεν τόπον τῷ διαβόλῳ· καλὸν ἡ εἰρήνη καὶ οὐδεὶς ὁ ἀμφισβητῶν, ἀλλ' ὡς ἐρρέθη· ἀλλ' ὡς δεδήλωται· ὡς καὶ ὁ μέγας Κύριλλος διαρρήδην βοᾷ· τότε φάσκων κρατύνεσθαι τὸ τῆς εἰρήνης ὄνομα καὶ

πρᾶγμα, ὅταν μὴ ταῖς τῶν ἁγίων γνώμαις ἀντιταττώμεθα, μηδὲ τοῖς ἐκείνων ἀντιπράττωμεν ὅροις· ἡμῖν δὲ οἱ ἅγιοι τὴν ἄχρις αἵματος παραγγέλλουσιν ἔνστασιν, ἐπὶ τῷ μὴ χραίνεσθαι διὰ τῆς τῶν βλασφήμων κοινωνίας...

Τί γοῦν βδελυξώμεθα τούτους, ἢ αὐτῶν κατευξόμεθα; οὐδαμῶς· ἀλλὰ τὸ μὴ χρανθῆναι μὲν τῇ κοινωνίᾳ τούτων καὶ τῆς ψ ώ ρ α ς αὐτῶν, ἢ τῆς λοιμικῆς νόσου μετασχεῖν περὶ πολλοῦ ποιησόμεθα καὶ φυλάξωμεν ἑαυτοὺς κατὰ πάντα τρόπον καὶ τῆς μερίδος αὐτῶν παντάπασιν ἀποσχώμεθα...».

(Ἀποσπάσματα ἐκ τῶν φύλλ: 42 - 63).

»Εἰ γὰρ τῷ μεγίστῳ πάπᾳ δοίημεν κατὰ τὴν ἐν ἡμῖν ἱεραρχίαν πρεσβεῖα, οὐκ ἀσεβείας παῦλαν οἰκονομήσομεν, ἀλλὰ στήριξιν· οὐ λύσιν κακίας, ἀλλ' ἰσχυροτέραν βεβαίωσιν· οὐκ ἀποβολὴν σηπεδόνος καὶ νόσου, ἀλλὰ μονιμοτέραν ἕξιν καὶ φθορὰν καὶ θάνατον ἄντικρυς. Εἰ γὰρ νῦν ἐλεγχόμενος παρ' ἡμῶν, παρακαλούμενος, ἐγκαλούμενος, ἐπιτιμώμενος, ἔστι ὅπου δι' αὐτολέκτων ὁμιλιῶν, δι' ἐπιστολῶν, δι' ἑτέρων μυρίων μεθόδων..., ὁ δὲ ταῦτα μὲν παρ' οὐδὲν ἡγεῖται, ἀποπηδᾷ δὲ καὶ ἀντιλέγει καὶ πρὸς τὸ σφέτερον μόνως διαβούλιον ἀπονένευκε, πῶς ἡμῶν κρατήσας καὶ ὑπερκαθίσας ὡς δικαστὴς καὶ τὸ ἀντιπίπτον ὑποχείριον ποιησάμενος, οὐκ ἀνομήσει μᾶλλον, οὐκ ἀσεβήσει, οὐ τὰ δεινότερα διαπράξεται; οὐχὶ καὶ τὸν —εἰ καί τις καταλέλειπται τῆς εὐσεβείας σπινθὴρ— συγκαταλύσει τῆς ἀσεβείας τῷ ρεύματι;...». (φύλ: 29α).

Ἐκ τοῦ Cod. Gr. 68 τῆς Bayer Staatsbibliothek τοῦ Μονάχου



Ἐπιστολὴ ἀποσταλεῖσα παρὰ τῶν Ἁγιορειτῶν πάντων πρὸς τὸν βασιλέα Μιχαὴλ τὸν Παλαιολόγον ὁμολογητική, σπεύδοντος τούτου ὅση δύναμις ἑνῶσαι τοὺς Ἰταλοὺς παραλόγως μεθ' ἡμῶν, μένοντας ἐκείνους ἀδιορθώτους πάντῃ τῶν σφῶν αἱρέσεων καὶ ἀμεταβλήτους(*).

9

Κράτιστε, θεόστεπτε, θεομεγάλυντε, ἅγιε ἡμῶν Δέσποτα, τὸν πρὸς τὴν κραταιὰν καὶ ἁγίαν σου βασιλείαν ἡμῶν πνευματικὸν καὶ διάπυρον ἔρωτα, ὁ ἀόρατος Θεὸς ἡμῶν καὶ τὰς τῶν ἁπάντων καρδίας ἐπιδεδραγμένος, ἀοράτως καὶ ὡς οἶδεν αὐτὸς ἐμπνέειν, πληροφορήσαιεν τὴν ἁγίαν σου ψυχήν, ὅπως τε κοινῇ καὶ ἰδίᾳ, καὶ ἐν αὐταῖς μέσαις ψυχαῖς ἀναγεγραμμένην περιφέρομέν σου τὴν μνήμην διὰ παντός, καὶ ἐνδελεχῶς τῷ Θεῷ ἐμφανίζομεν, περὶ οὗ παμπλείστους Θεῷ τὰς εὐχαριστηρίους φωνὰς ἐν τῷ καθ' ἑαυτούς, ἀλλὰ καὶ ὁμοῦ ἕκαστος ἀναπέμπομεν, ὅτι σε ὁ αὐτοκρατορίᾳ κοσμήσας, πολλῷ πρὸ ταύτης τῷ ἡμεροφαεῖ καὶ θεοπλόκῳ στέφει τῆς ὀρθοδόξου πίστεως ἐταινίωσε· ναὶ μήν, καὶ ὕμνος αὐτῷ καὶ αἴνεσις· ἔγνω γὰρ Κύριος τοὺς αὐτοῦ, καθ' ὃν προέγνω, κατὰ τὸν μέγα εἰπεῖν ἡμᾶς ἀπόστολον, τοῦτον καὶ ἐδικαίωσεν ἄρχειν, καὶ εἰς μέγα τοῦτον δόξης καὶ ἐξουσίας ἐφύψωσε, βασιλέα τῶν ἐπὶ γῆς ἀναδείξας, εἰ μὴ ὅτι μόνον βασιλευόμενον ἄνωθεν εὐπειθῶς, ταὐτὸν εἰπεῖν παγευσεβῶς καὶ θεοφιλεστάτως.

Ἀλλ' ἵλεως εἴης ἡμῖν τοῖς διὰ παντὸς εὐχέταις τῆς κραταιᾶς

* Βλέπε σχετικῶς κεφ. Ζ' τοῦ Α' Μέρους.

βασιλείας σου, μεθ' ὑποστολῆς ἐνδεχομένης ἀναφέρουσι πρὸς αὐτήν, ὅσα περ οὐδ' ἀσυνήθη, ἀλλὰ φίλα μᾶλλον καὶ σύντροφα ἀπ' αὐτῶν, ὡς ἂν εἴποι τις, τῶν σεβασμίων ἀγκαλῶν τῶν ἐν εὐσεβεῖ τῇ λήξει τῶν μακαριωτάτων μνήμῃ γεγονότων πανευσεβῶν γονέων τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, ὧν τὸ πολίτευμα ἐν οὐρανοῖς καὶ ὧν ὁ ποῦς ἔστη λοιπὸν ἐν εὐθύτητι ἆθλον τῆς ἐνταῦθα κατὰ Θεὸν ἀπροσκόπου πορείας, περὶ τὴν διπλῆν τῆς εὐσεβείας οἶμον· τὴν ἐκ πίστεως δηλαδὴ καὶ ἔργων, τὴν ἐκεῖσε μόνιμον στάσιν περὶ Θεὸν, καὶ τὴν μέλλουσαν ἀπενεγκάμενοι ζωὴν καὶ μακαριότητα. Εὐχαριστοῦμεν τῇ ἁγίᾳ βασιλείᾳ σου κἀντούτῳ, ὅτι διὰ δεσποτικοῦ αὐτῆς π ρ ο σ τ ά γ μ α τ ο ς ἔδειξας καὶ διεσαφήσας ἡμῖν, τὰ πολυειδῶς ἀκουόμενα καὶ ἀμφιβαλλόμενα, νῦν δὲ τρανῶς γνωρισθέντα.

Οἶδεν ἡ κραταιὰ καὶ ἁγία βασιλεία σου, ὅτι πᾶσα ἡ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ποίμνη ἓν σῶμα ἐστίν, ὑπὸ μιᾶς κεφαλῆς διοικούμενον, ὅς ἐστὶ Χριστὸς Ἰησοῦς· οἶδε καὶ τὸν τῆς ἀγάπης νόμον· ὁ δὲ νόμος τῆς ἀγάπης τοῦ πνεύματος οὗτος· εἴτε πάσχει ἓν μέλος, συμπάσχειν πάντα τὰ μέλη· καὶ ἵνα τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, ὑφ' ἑνὸς κινούμενα πνεύματος· καὶ ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ· καὶ ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. Ἔνθεν τοι γνησίως καὶ συμφερόντως τὸ εἰς ψυχὰς ἧκον τοῦ παντὸς πληρώματος τῶν πιστῶν, προηγουμένης δὲ καὶ αὐτῆς τῆς ἁγίας ψυχῆς τῆς βασιλείας σου, λόγους εἰπεῖν ἔχομεν καθ' ὑπόμνησιν, οὓς οἶδε καὶ ἡ ἁγία βασιλεία σου· οὐχ ὅτι ἱκανοὶ ἐσμέν, λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν πᾶσα ἐκ τοῦ Θεοῦ, ἣ ἱκανοῖ ἡμᾶς καὶ πρὸς τοῦτο «καρδία μὲν πιστεύειν εἰς δικαιοσύνην στόματι δὲν ὁμολογεῖν εἰς σωτηρίαν»· διὸ οὐδὲ ἀκίνδυνον ἡμῖν δοκεῖν παρὰ Θεῷ τὸ ἐφυσυχάζειν τοῖς ἄρτι γινομένοις ἐπικινδύνως· πεποίθαμεν γάρ, ὡς οὐδαμῶς καταδέξηται ταῦτα ἡ ἁγία σου ψυχὴ, ἄνωθεν οὖσα θεόφοβος, καὶ ἐπὶ τοῦ ἐλαχίστου δεδοικυῖα· ἀλλ' οἱ ταράσσοντές σε, οἵτινες ἂν εἶεν, βαστάσουσι τὸ κρῖμα, καθὼς ὁ μέγας ἔφη ἀπόστολος· πλὴν δι' ἐλέους αὐτοῦ ὁ πραὺς κατὰ Δαυὶδ καὶ χριστομίμητος βασιλεύς, χάρισαι ὑμῖν ἐπὶ μικρὸν τὰς βασιλικὰς καὶ θείας ἀκοὰς τοῖς πτωχοῖς Μοναχοῖς, τοῖς ἐν ἀληθείᾳ ποθοῦσι τὴν ψυχὴν τῆς ἁγίας βασιλείας σου.

(Περὶ τῶν ἀζύμων)*

Ὁ μέγας Ἀπόστολος Παῦλος, ὁ πᾶσαν τὴν γῆν τῷ κύκλῳ τοῦ Εὐαγγελίου περιλαβών, ὁ τὸν Χριστὸν ἔχων λαλοῦντα ἐν ἑαυτῷ, ταῦτα φησὶ πρὸς Γαλάτας ἓν νομικὸν παρεισφέροντας: «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει»· καὶ πάλιν· «κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, τῆς Χάριτος ἐξεπέσατε»· καὶ πρὸ τούτων· «εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ»· ἀνατροπὴν γοῦν τοῦ εὐαγγελίου τοῦ Χριστοῦ εἶναι παριστᾷ, τῷ ἑνὶ παρατηρήματι συνεισφέρειν τὸ παλαιὸν καὶ κεκμηκότα νόμον τῆς χάριτος ἀκμαιότερον· τί γάρ ἔτι δεῖ ὑπὸ σκιὰν θάλπεσθαι, τοῦ ἡλίου τῆς δικαιοσύνης ἀνατείλαντος καὶ τὴν ἐλευθερίαν προδιδόναι, τῇ τῆς δουλείας ἀντεισφορᾷ; δυσὶ γάρ κυρίοις δουλεύειν οὐδεὶς δύναται, φησὶν ἡ Κυριακὴ φωνή· ἄλλως τε δεικνύς ὅτι καὶ τὸ μικρὸν παραποιηθὲν, τὸ ὅλον λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον Χριστοῦ, καὶ ἀνατρέπεται.

Διὰ ταῦτα καὶ ὁ μέγας φωστὴρ καὶ διδάσκαλος τῆς Ἐκκλησίας, καὶ διάδοχος τῆς τοῦ Παύλου χάριτος, ὃς καὶ Παῦλον πνεύσας, ὡς ἐκεῖνος Χριστόν, ὁ πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος, ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Γαλάτας ταύτης ἐπιστολῆς τοῦ Ἀποστόλου, ταῦτα μετὰ πλειόνων ἄλλων λέγει: «Αὐτὸ μὲν τοῦτο ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ ὑπὲρ τῶν μικρῶν τούτων ἀγανακτεῖν· διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισῆλθεν, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. Καὶ καθάπερ ἐν τοῖς σώμασιν, οἱ τῶν τραυμάτων καταφρονήσαντες, πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ θάνατον, οὕτω καὶ ἐπὶ τῶν ψυχῶν· οἱ τῶν μικρῶν ὑπερορῶντες, τὰ μείζονα ἐπεισάγουσιν... Εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδᾶν τῶν θείων θεσμῶν ἐπιχειροῦντες καὶ μικρόν τι παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ παρὼν ἐτέχθη λοιμός, οὐκ ἂν ὁ τοσοῦτος χειμὼν τὰς ἐκκλησίας κατέλαβεν... ὁ γάρ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται».

---

* Τὰ ἐντὸς ( ) ἡμέτερα.

Ταῦτα μὲν ὁ πατήρ καὶ πρὸ αὐτοῦ ὁ ἀπόστολος· τί δὲ τὰ ἄζυμα παρεισάγοντες καὶ τὰ σάββατα, ἐῶμεν λέγειν πλείω, καὶ διὰ τούτων πάλιν τῷ νόμῳ ἐξ ὑπαρχῆς παρρησίαν διδόντες, ποῖον ἡμῖν κοινὸν τοῖς ἀπὸ Χριστοῦ, καὶ τῇ νομικῇ τῶν σαββάτων παρατηρήσει; ἆρ' οὐχὶ τὰ νομικὰ πάντα συγκαταλέλυνται, τῷ περυωνύμῳ ἐκείνῳ ναῷ τοῦ παλαιοῦ Ἰσραήλ; οὐχὶ κωλύει ταῦτα αὐστηρῶς, τὰ σάββατα δηλαδή, ὁ ξς' τῶν ἁγίων Ἀποστόλων κανών, ἐκτὸς τοῦ Μεγάλου Σαββάτου, ὥστε τὸ μὲν ἱερατικὸν αὐτῶν ἅπαν διὰ ταῦτα καθαιρεῖν, τὸν δὲ λοιπὸν αὐτῶν λαὸν ἀφορισμῷ καθυποβάλλειν; πόθεν δὲ καὶ τὰ ἄζυμα τοῖς ἰουδαιόφροσιν, ἢ ὅθεν τὰ σάββατα;

Τὸ κεφάλαιον τῶν παρ' Ἰουδαίοις ἑορτῶν τὰ ἄζυμα ἦν· φανερὸν γάρ ἐκ τοῦ συλλέγεσθαι ἐκ πάσης φυλῆς εἰς Ἱερουσαλὴμ τῷ καιρῷ αὐτῶν, τοὺς θρησκευτὰς τῶν ἀζύμων· ὡς καὶ τῶν παρ' ἡμῖν μυστηρίων τὸ μεῖζον, ἡ μυστικὴ τράπεζα τοῦ κυριακοῦ σώματος· εἰ τοίνυν κατὰ τὸ παρ' ἡμῖν μεῖζον, ἐξομοιοῦνται τοῖς Ἰουδαίοις, κατὰ τὸ παρ' αὐτοῖς κρεῖττον, οὐκ ἄντικρις ἰουδαΐζουσι; πῶς οὖν οἱ τὰ τοιαῦτα τολμῶντες ἀναφανδὸν τῆς οἰκουμένης, καὶ οἷον ἀνερυθριάστως καὶ γυμνῇ ὅ δὴ φασὶ τῇ κεφαλῇ, οὐχὶ καὶ οὗτοι κατὰ τοὺς Γαλάτας εὐαγγελιζόμενοι τῆς πίστεως ἔκφυλα, τῷ ἀποστολικῷ ἀναθέματι ὑπεύθυνοι ἔσονται; ὅπου γε καὶ πλεῖον ἢ ἐκείνοις τὸ τόλμημα· καὶ περὶ αὐτὸ τῆς ἡμετέρας πίστεως τὸ κεφάλαιον. Ἀλλ' εἴπωσιν, ὡς οὐχὶ τὰ ἄζυμα κατὰ σκοπὸν ἰουδαϊκὸν προσφέρουσιν, ἀλλ' ὡς κυριακὸν σῶμα, ὀφθαλμοὺς ἔχειν λέγοντες, οὐ βλέπουσι· καὶ νοῦν, οὐ συνιοῦσι πρὸ ὀφθαλμῶν κειμένην τὴν ἀλήθειαν.

Εἰ ὁ τυπικὸς καὶ σκιώδης νόμος ὃ προσῆγεν, εἰς τύπον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μηδὲν ἔχειν ἀτελές, μηδὲ λελωβημένον διεκελεύσατο, πῶς οὗτοι τολμῶσι, τὸ ἄναλον, τὸ ἄζυμον καὶ κεκολοβωμένον, καὶ ἀηδές, ὡς τὸ τοῦ παντελείου ἀμνοῦ τῆς χάριτος σῶμα προσφέρειν τὸ ζωοπάροχον; καίτοι οὐδ' ἐν τῷ νόμῳ ταῦτα, τὰ ἄζυμα δηλαδή, τύπο ὅλως εἶχε Χριστοῦ, ἀλλ' ὅσον σώζειν μόνον, μνήμην τινὰ αἰγυπτιακῆς ἐξόδου, καὶ ἐρημικῶν καὶ ἐνοδίων κακώσεων· διὰ τοῦτο καὶ μετὰ πικρίδων παρὰ τὴν ἀρχὴν περιεζωσμένοι τε καὶ ὑποδεδεμένοι, καὶ βακτηρεύοντες ταῦτ' ἤσθιον·

ἡμεῖς δὲ Χριστοῦ χάριτι, σπέρμα χριστιανῶν ἐσμέν, καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε αἰγυπτίων τυράννῳ.

Εἰ δὲ τὸν Χριστόν, τὸ νομικὸν πάσχα φαγεῖν, πρὸ τοῦ καινοῦ τούτου λέγουσι, καὶ εἰ τοῦτο δοίημεν ἐντεῦθεν οὐδὲν ὄφελος γενήσεται· τὰ γάρ τοῦ νομικοῦ πάσχα ἄζυμα, τοῖς τοῦ ἀμνοῦ κρέασι συνησθίοντο, καὶ αὐτίκα τούτοις συνεδειπνῶντο· καὶ κατὰ τὴν τοῦ νόμου τήρησιν, οὐδὲν εἰς τὸ ἑξῆς, οὔτε τοῦ ἀμνοῦ, οὔτε τῶν ἀζύμων, οὔτε μὴν τῶν πικρίδων ὑπελιμπάνετο. Τοῦ νομικοῦ γοῦν πάσχα βρωθέντος τῷ Κυρίῳ καὶ παραυτίκα καταργηθέντος, οὐχ ὑπελείφθη ἄζυμον κατὰ τὸν νόμον· ἑξῆν δὲ λοιπὸν τῷ σωτήρι ἀναπεσόντι, τῷ προνομίῳ χρᾶσθαι τῆς ἡμέρας, ζυμίτην ἄρτον ἐσθίοντι· ἥτις ἦν ἡ πρὸ τῶν ἀζύμων, κατὰ τὸν μέγαν ἀπόστολον καὶ εὐαγγελιστὴν ἐπιστήθιον Ἰωάννην, ὅστις καὶ περὶ τῆς ἐπαύριον σαφῶς μαρτυρεῖ οὕτωσὶ λέγων: «ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα, καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα».

Προέλαβε δὲ ὁ Κύριος τὸ ἴδιον πάθος, ἐν ᾧ καὶ τὸ τῶν Ἰουδαίων πάσχα συνέπιπτε, καὶ ἡ σκιὰ τῇ ἀληθείᾳ συνέβαινεν· ὥστε προλαβεῖν ὁμοῦ καὶ τὸ ἑαυτοῦ, καὶ τὸ καινὸν πάσχα παραδοίη τοῖς μαθηταῖς, ἅμα δὲ καὶ ζυμίτου ἄρτου μὴ ἀπορῆσαι πρὸς τοῦτο, ὁ πάντα πανσόφως οἰκονομῶν· ἵνα καὶ αὕτη ἡ περὶ αὐτοῦ προφητεία τὸ πέρας ἕξῃ: «σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ»· τί οὖν Μελχισεδὲκ προσήνεγκεν; ἄρτον καὶ οἶνον· τί δὲ Ἀαρών; ἀμνόν, ἄζυμα καὶ πικρίδας· ὄντως οὐδὲν τῆς ἐν πνεύματι προφητείας ταύτης περὶ τοῦ μεγίστου τούτου μυστηρίου, καθαρώτερόν τε καὶ προσφυέστερον.

Εἰ δὲ οὗτοι ἀντέχεσθαι τοῦ παλαιοῦ νόμου βούλονται, τὸν ἀμνὸν μᾶλλον προσφερέτωσαν ὡς τύπον Χριστοῦ ἐν ταῖς σκιαῖς περισώσαντα, καὶ ζωοθύτωσαν, ἵνα καὶ πάλιν ὑπὸ τοῦ αὐτοῦ προφήτου ἐξελεχθήσονται φάσκοντος οὕτω· «θυσίαν καὶ προσφορὰν» νομικὴν «οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι». Εἰδ' οὐ τοῦτον, καί τοι οἰκείως ἔχοντα τῷ Χριστῷ, πρὸς ἐκεῖνα τὰ ἄζυμα δηλαδὴ τὰ παλαιὰ καὶ κολοβά, καὶ διὰ μόνην ἔμφασιν ἀνοδίου καὶ ἐρημικῆς κακώσεως οὕτω τοῦ ἀποστόλου διαρρήδην βοῶντος· «τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά»· ἀκουέτωσαν πῶς

καινὰ τὰ πάντα· καὶ εἰ τὰ πάντα κεκαίνωται, πῶς τὸ κεφάλαιον τῆς ἡμετέρας πίστεως, τὸ Κυριακὸν σῶμα, ἐν ᾧ σημειούμενοι διαστελλόμεθα, καὶ Ἰουδαίων, καὶ πάντων ἐθνῶν ἑτεροδόξων, οὐ παντάπασιν διαλλάττειν ἐμέλησε τῷ Κυρίῳ· ὅπου γε καὶ ὑπὲρ ἄλλο τι πλέον, καινὸν τοῦτο εἶναι, καὶ καινὴν διαθήκην αὐτὸς ὁ Κύριος ἐπωνόμασεν;

Εἰ δὲ καινόν, πῶς οὐ διήλλακται τῶν παλαιῶν ἑορτῶν καὶ ἐθίμων; Οὕτως, εἰ μὴ προφανῶς ὁμολογοῦσιν ἰουδαΐζειν, ἑτέρῳ κρημνῷ περιπεσοῦνται εἰς θάνατον, ὑπὲρ τὸ ἅγιον Εὐαγγέλιον, τὴν Ἀπολλιναρίου παράδοσιν αἱρετισάμενοι.

Κελεύεις βασιλεῦ ἅγιε, πλειόνως αὐτοὺς ἰδεῖν τῆς θείας ὁδοῦ ἐξοστρακισθέντας; Ὁ Υἱὸς καὶ Δεσπότης παρρησίᾳ ταῦτα τῷ κόσμῳ λαλεῖ: «ἐγὼ εἰμι ἡ θύρα, ἡ ὁδός, ἡ ἀλήθεια καὶ ἡ ζωή· δι' ἐμοῦ ἐὰν τις εἰσέλθῃ σωθήσεται, ὁ δὲ ἀνεβαίνων ἀλλαχόθεν, οὗτος κλέπτης ἐστὶ καὶ λῃστής»· καὶ πάλιν: «τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, καὶ ἀλλοτρίῳ οὐ μὴ ἀκολουθήσωσι, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· οὐ γάρ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν».

Οἱ δὲ Προφῆται περὶ αὐτοῦ: «πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ· πισταὶ δὲ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι»· καὶ ὁ ἀπόστολος: θεμέλιον τέθεικα ὑμῖν, καὶ ἕτερον θέσθαι παρὰ τὸν κείμενον οὐκ ἔστι· κἀκείνῳ ἐν ὑποδείγματι ἀνθρωπίνῳ περὶ τῶν τοῦ Κυρίου λόγων διαβεβαιούμενος· ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται. Ἄκουσον, Βασιλεῦ ἅγιε, ἃ χαίρεις ἀκούων, καὶ κρίνων κρίσιν εὐθυδικίας, ἀναμεταξὺ τῶν θείων θεσμῶν καὶ αὐτῶν· «τιμὴ γάρ βασιλέως κρίσιν ἀγαπᾷ», καὶ μάλιστα οὕτω πανευσεβοῦς· ὁ γοῦν τολμῶν ἐπιδιατάσσεσθαι τῶν κεκυρωμένων, καὶ ἀθετεῖν τι τῶν γεγραμμένων, καὶ ἐπεισάγειν τι τῶν μὴ γεγραμμένων, οὗτος χριστιανὸς ἐστί; οὐχὶ φανερὰ αὐτοῦ ἔκπτωσις πίστεως;

(Περὶ τοῦ Ἁγίου Πνεύματος)

Πῶς οὗτος χριστιανός, ὁ μὴ τῷ Χριστῷ ἀκολουθεῖν κατ' ἴχνος ἀρκούμενος, ἀλλ' ἀντιπροσωπεῖν ἐθέλων καὶ ἀντιβαίνειν·

καίτοι, οὐδὲ ὁ μέγας Μωσῆς, ὅς τύπος ἦν τοῦ Χριστοῦ ἐν πολλοῖς πλέον τούτου ἐζήτει· ἀλλ' εἰπὼν γνωστῶς ἴδω σε· καὶ τὰ ὀπίσθια ἔστερξε, καὶ ἐπιπροσθούσης πέτρας ἐδέησε.

Ἀλλ' οὗτοι καὶ προποδίζειν τολμῶσι· διὸ καὶ πρὸς αὐτοὺς ἄντικρυς φησί: «οὐ μὴ γάρ ὄψεσθε τὸ πρόσωπόν μου ποτέ, οἱ ἀντιβαίνειν μοι ἐπιγενόμενοι»· προσδιορθούμενος τοῖς ἐξ οἷς τὸ μέγα τοῦτο πάθος ὁ μέγας Μωσῆς εἴρηκεν, ἐν τοῖς παρὰ Θεοῦ δοθεῖσιν, οὐκ ἔστι προσθεῖναι· καὶ ἀπ' αὐτοῦ οὐκ ἔστιν ἀφελεῖν· οὕτως οἶδεν ἐκεῖνος ὀπισθίως βαίνων, καὶ κατ' ἴχνος τοῦ Θεοῦ· καὶ τοῖς ἄλλοις τὸν φόβον τοῦτον καὶ τὴν εὐπείθειαν ἀφοσιοῦν Θεῷ καθυπογραφόμενος. Ἀλλ' ἔστιν ἐκ τοῦ κανόνος ἰδεῖν τὴν ἐναντίαν ὅπως ἐτράπησαν καί, ὅ φασί, τὴν ἐκ διαμέτρου· δός οὖν καὶ πρὸς αὐτοὺς μικρόν τι τὸν λόγον ἡμῶν τρέψασθαι. «Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱός, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός», ὡς αὐτὸς οὗτος διασαφεῖ· οὗτος ὁ ἀσφαλὴς τῶν φρικτῶν θεολόγος. Καὶ περὶ τοῦ Πνεύματος τοῦ συμφυοῦς καὶ συναριθμίου αὐτῷ εἴρηκεν οὕτως εἰπών: «ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὁ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται».

Πρόσχες τῷ ῥήματι, λατῖνε! ἐν τῷ φωτὶ τὸ φῶς ὀπτάνεται Δαβὶδ μαρτυρεῖ· ἐν τῇ ἀκτῖνι τῷ Υἱῷ, τὸ φῶς τὸ Πνεῦμα, πόθεν ἐκπορεύεται κατοπτεύσωμεν; Διὸ λέγει ὁ Υἱὸς τὸ παρὰ τοῦ Πατρὸς περὶ τοῦ Πνεύματος, διαβεβαιῶν τὸν αἴτιον αὐτοῦ καὶ τοῦ ὁμοφυοῦς Πνεύματος· τὸ δὲ σὸν παρεμβόλιμον καὶ νόθον δόγμα, ποῦ, τὸ καὶ ἐκ τοῦ Υἱοῦ; ἀλλ' ἀποκριθήσει εἰς παράστασιν τῆς ὁμοουσιότητος τοῦτο προστιθέναι, ἔνθα δὴ καὶ προστίθης· καὶ οὐκ ἀρκεῖ τοῦ Κυρίου ἡ θεολογία δεῖξαι τὴν ὁμοουσιότητα αὐτοῦ τε καὶ τοῦ ὁμοφυοῦς καὶ συναριθμίου Πνεύματος, ὅτι καὶ ἀμφότεροι τῆς αὐτῆς πηγαίας θεότητος, καὶ τοῦ αὐτοῦ Πατρὸς, ὁ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς. Ταύτῃ καὶ οἱ θεοφόροι Πατέρες ῥητῶς χρησάμενοι ἐν τῷ Συμβόλῳ τῆς Πίστεως, ἀπαραλλάκτως ἐχρήσαντο.

Σὺ δὲ καὶ τῶν πατέρων, καὶ τοῦ μονογενοῦς αὐτοῦ, πλέον τι ἰδεῖν καὶ μυηθῆναι ἐφρόνησας· (!!) οὕτως ἐξ ἀπονοίας, καὶ τῷ μὴ πειθαρχεῖν τῷ Χριστῷ θεσπίζοντι, ἄνω καὶ κάτω τίθης τὰ θεῖα καὶ ἱερὰ δόγματα· καὶ νῦν μὲν, τὴν κάτω καὶ περὶ ἡμᾶς Δε-

σποτικὴν οἰκονομίαν· νῦν δὲ τὴν ἀνωτάτω καὶ Θεαρχικὴν Θεολογίαν, ταῖς μειώσεσί τε καὶ προσθήκαις καταρρυπαίνων τὴν πίστιν συγχέεις· μᾶλλον δέ τινα καινὴν πίστιν εἰσάγεις καὶ ἕτερον εὐαγγέλιον, ὁ οὐκ ἔστιν ἄλλο κατὰ τὸν μέγαν Ἀπόστολον εἰπεῖν, εἰ μή τι ὁ ταράσσων εἴη διά σου τὴν πίστιν διάβολος.

Ἆρ' οὐχὶ προφανῶς τοῦτο τὸ δόγμα τοῦ σατανᾶ δυαρχίαν ἄθεον παρεισάγον, καὶ τὸ Πνεῦμα ὑποβιβάζον; μᾶλλον δὲ μηδὲ τοῦ μονογενοῦς φειδόμενον καὶ ὥ δοκεῖ χαρίζεσθαι, ἐχθρωδῶς προσφυόμενον; εἰ γάρ ἡ τοῦ Πατρὸς μὲν γονιμότης διττή, κατά τε τὴν γέννησιν καὶ προβολήν, αὕτη δὲ ὡς φῆς, μὴ ἰδίωμα τῆς τοῦ Πατρὸς ὑποστάσεως, ἀλλὰ φύσεως, πῶς τῷ Υἱῷ μὲν ἐξ ἡμισείας ἔσται, τῷ Πνεύματι δὲ οὐδ' ὅλως; εἴπερ ὅσα τῆς φύσεως κοινά, καὶ τῶν τριῶν ἀπαραλλάκτως θεαρχικῶν ὑποστάσεων· καὶ Υἱῷ καὶ Πνεύματι μείωσις τῶν ἐπικοίνων ἐσεῖται· οὕτως οὐδὲν τοῦ θεολογικοῦ ἐκείνου ῥητοῦ ἐνταῦθα ἡμῖν προσφυέστερον· ὡς εἴ τις τῶν τριῶν κάτω θῇ, τὸ πᾶν καθαιρεῖ· μήτε τὸν Πατέρα τιμῶν, τῷ ἀτιμάζειν τὰ ἐξ αὐτοῦ διὰ τῶν ἀνίσων βαθμῶν τῆς Θεότητος· καὶ σὺ μὲν οἶδα, ὅτι οὐδ' ἐπιστρέφει τῶν λεγομένων· ζητῶν γάρ τὴν ἰδίαν παραπληξίαν ἱστᾶν, οὐ γάρ εἴπω δικαιοσύνην, τῇ γάρ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑποτάσσῃ· ἡμεῖς δὲ διὰ ταῦτα καὶ ὡς αἱρετικὸν προφανῶς θεωροῦμεν σε, ὅτι μηδὲ τὸ Σύμβολον τῆς ὀρθοδόξου πίστεως ἔχεις ἀπαραποίητον.

Καθάπαξ δὲ ἀπεφήνατο τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, τῶν ἑπταρίθμων στύλων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ὅ ἔθετο ἐν τῇ Ἐκκλησίᾳ, Ἀποστόλους, Προφήτας, καὶ Διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, σύμβολον αὐτὸ εἶναι, παντὸς ὀρθοδοξοῦντος Χριστιανοῦ. Σὺ δὲ οὐδὲ τοῦτο τοῖς σοῖς ἐπισφαλέσι διευθετισμοῖς καὶ ἐπιδιορθώσεσιν, ἀπαρεγχείρητον εἴασας. Εἴ περ, Δέσποτα ἡμῶν ἅγιε, τὰς αὐτῶν παραποιήσεις πάσας, τὰς τῶν ἐκκλησιαστικῶν καὶ θείων παραδόσεων καὶ θεσμῶν ἀπαριθμήσομεν, καὶ ἐπὶ πολὺ τὸν λόγον ἐκτενοῦμεν, καὶ τὰς βασιλικὰς καὶ θείας ἀκοὰς ἀποκναίσομεν· καὶ ἵνα μὴ τοῦτο γένηται, ἐῶμεν τὰς ἐπιλοίπους, παρὰ πολλῶν τῶν κατ' αὐτῶν γραψάντων, τῶν ἐν εὐσεβεῖ καὶ ὁσίᾳ τῇ λήξει γενομένων Ἁγιωτάτων Πατριαρχῶν τε καὶ Ἀρχιερέων ἡμῶν, καὶ βασανισθείσας καὶ στηλογραφηθείσας, ἐκεῖνο δὲ συνελόντι λέγομεν.

(Ἀξιοκατάκριτοι οἱ καινοτομοῦντες)

Οὗτοι, Δέσποτα ἅγιε, τὰ κυριώτερα τῆς πίστεως οὐκ ἀπαράτρωτα εἴασαν, οὐδ' ἀμώμητα· διὰ τοῦτο μὴ ὅτι καὶ ἀποκόπτονται τοῦ πανταχόθεν ἴσου τε καὶ καλοῦ ὡραιομόρφου σώματος τοῦ Χριστοῦ, ἀλλὰ καὶ τῷ σατανᾷ παραδίδονται. Καὶ φησίν ὁ ἀπόστολος, ἐπισφραγίζων πᾶσαν τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν· καὶ τόσον σχεδὸν πρὸς τοὺς ἐν ἑνὶ τότε ἑτεροδιδασκαλοῦντας Γαλάτας, ὅσον καὶ εἰς τοὺς ἀρτίως μυριοετεροδιδασκαλοῦντας Ἰταλοὺς, καὶ πᾶσαν μικροῦ δεῖν παράδοσιν εὐαγγελικήν, ἀποστολικήν, κανονικήν, καὶ πατρικὴν ἀνατρέποντας: «εἴ τις εὐαγγελίζεται ὑμᾶς, παρ' ὃ παρελάβετε, κἂν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ, ἀνάθεμα ἔστω». Ἀλλὰ καὶ ἡ Ἁγία καὶ οἰκουμενικὴ ἕκτη Σύνοδος, ἡ ἐν τῷ Τρούλλῳ, τὰς πρὸ αὐτῆς πνεύματι θείῳ ἐξασφαλίζουσα, ἐν τῷ πρώτῳ τῶν αὐτῆς θείων καὶ ἱερῶν κανόνων τάδε φησί: «Εἰ δέ τις τῶν ἁπάντων τὰ μὴ προειρημένα τῆς εὐσεβείας δόγματα κρατοῖ καὶ ἀσπάζοιτε, καὶ οὕτω δοξάζοι τε καὶ κηρύττοι, ἀλλ' ἐξ ἐναντίας ἰέναι τούτων ἐπιχειροῖ, ἔστω ἀνάθεμα».

Κατὰ τὸν ἤδη ἐκτεθέντα ὅρον ὑπὸ τῶν προδηλωθέντων μακαρίων πατέρων καὶ τοῦ Χριστιανικοῦ καταλόγου ὡς ἀλλότριος ἐξωθείσθω καὶ ἐκπιπτέτω. Ἡμεῖς γάρ οὔτε προστιθέναι τι, οὔτε μὴν ἀφαιρεῖν κατὰ τὰ προορισθέντα παντελῶς διεγνώκαμεν· ἢ καθ' ὁντιναοῦν δεδυνήμεθα λόγον· καὶ ταῦτα μὲν ὁ κανών· Ἐνθεωρεῖται δὲ καὶ τοῦτο σαφῶς ὡς τὸ ἐξ ἐναντίας ἰέναι τῶν τῆς εὐσεβείας δογμάτων, τοῖς πατράσιν ἔδοξεν εἶναι οὐκ ἄλλο, ἢ τὸ προστιθέναι τούτοις ἢ ὑφαιρεῖν. Πῶς γοῦν ἐρεῖ τις τοὺς ταῦτα τολμῶντας καὶ ἐπ' ἐκκλησίας κυροῦντας, καὶ δημοσίᾳ καὶ ἐν ἀγορᾷ, καὶ ταῖς ἁπανταχοῦ αὐτῶν πόλεσι, διατόρῳ γλώττῃ διδάσκοντας, μὴ τῷ αὐτῷ ἀναθέματι ὑποκεῖσθαι τῷ κανονικῷ;

Εἰ δὲ χρὴ διὰ βραχέων καὶ ἐξ ἑτέρων θείων καὶ ἱερῶν κανόνων τὰ αὐτὰ κατὰ τὸ ὑμῖν ἐγχωροῦν ἐξειπεῖν· φησὶ γάρ καὶ ἡ τῆς ἑνώσεως θεία καὶ ἱερὰ σύνοδος, ὑστάτη μὲν πασῶν οὖσα, καὶ τὰς πρὸ αὐτῆς πνεύματι θείῳ ἐπικυροῦσα· ἑπομένη κἂν τούτῳ ταῖς προηγησαμέναις: «Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ ὑποτύπωσιν καὶ διδασκαλίαν τῶν μακαρίων καὶ

ἀοιδίμων πατέρων καινοτομηθέντα καὶ πραχθέντα, καὶ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα». καὶ ὅτι: «τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς θείους καὶ ἱεροὺς κανόνας τῶν ἁγίων ἡμῶν πατέρων, οἳ τὴν ἐκκλησίαν ὑπερείδουσιν, καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες, πρὸς θείαν ὁδηγοῦντες εὐλάβειαν, ἀνάθεμα». Καὶ πῶς ἄν, εἰ πάντες τοὺς κατὰ τούτων ἄντικρυς ἀποφαινομένους θείους κανόνας ἐκθῆναι θελήσομεν, τὴν ὁρμὴν τοῦ λόγου κατασχεῖν δυνησόμεθα; Εἰ γάρ πρὸς ἓν ἕκαστον τῶν παρὰ τοὺς θείους θεσμοὺς αὐτοῖς τελουμένων, ἀντιπαραθῶμεν θείους καὶ ἱεροὺς κανόνας, οἳ καὶ καθαιροῦσι καὶ ἀφορίζουσιν, ἔστιν ἐν οἷς καὶ ἀναθεματίζουσιν αὐτούς, διὰ τὴν τῶν θείων παραδόσεων ἀθέτησιν, καὶ πέρα τοῦ μέτρου χεθῆναι ὁ ἰδιώτης ἡμῶν καὶ ἄγροικος λόγος οὗτος ἐκβιασθήσεται.

Ἐμπεριέχεται δὲ καὶ τῷ ΙΕ' Κανόνι τῆς ἁγίας καὶ μεγάλης τῆς πρώτης καὶ δευτέρας ἐπονομασθείσης, ὅτι οὐ μόνον ἀνευθύνους εἶναι, ἀλλὰ καὶ ἐπαινετέους τοὺς ἀποσχίζοντας ἑαυτοὺς καὶ πρὸ συνοδικῆς καταδίκης, ἀπὸ τῶν δημοσίᾳ διδασκόντων αἱρετικὰ διδάγματα, καὶ ὄντων προφανῶς αἱρετικῶν. Οὐ γάρ ἀπέσχισαν ἑαυτοὺς ἀπὸ ἐπισκόπων, ἀλλ' ἀπὸ ψευδεπισκόπων καὶ ψευδοδιδασκάλων, καὶ τὸ παρὰ τούτων γεγονός, ἐπαίνου ἄξιον, καὶ προσῆκον ὀρθοδόξοις χριστιανοῖς, καὶ ὡς οὐ σχίσμα τοῦτο ἐκκλησίας, ἀλλὰ μᾶλλον μερισμῶν ἀπαλλαγὴ καὶ τῆς ἀληθείας ἐπικράτησις. Πῶς οὖν θεμιτὸν καὶ θεάρεστον ἑνωθῆναι τοῖς τοιούτοις ἡμᾶς, ὧν δικαίως καὶ κανονικῶς ἐξεκόπημεν, ἀμεταβλήτως ἔχουσι τῶν αἱρέσεων; Εἰ τοῦτο καταδεξόμεθα, τὸ ὀρθόδοξον, καὶ ἐν ἑνὶ τὸ πᾶν ἀνατρέπομεν· καὶ ἐν ὅσοις οἱ ἀναξίως δεχόμενοι ἀνατρέπουσι.

Λέγουσι γάρ καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, «εἴ τις ἀκοινωνήτῳ, κἂν ἐν οἴκῳ συνεύξηται, ἀφοριζέσθω»· καὶ ἀλλαχοῦ· «ὁ ἀκοινωνήτοις κοινωνῶν, ἀκοινώνητος ἔσται, ὡς συγχέων τὸν κανόνα τῆς ἐκκλησίας»· καὶ πάλιν: «ὁ αἱρετικὸν δεχόμενος, τοῖς αὐτοῦ ἐγκλήμασιν ὑπόκειται». Ἐν ὅσοις γοῦν οὗτοι ἐγκαλούμενοι ὑπὸ εὐθύνας εἰσίν, τοῖς αὐτοῖς ἅπασι καὶ ἡμεῖς, εἰ καταδεξοίμεθα, παρὰ τῶν θείων κανόνων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀποφαινομένων, ὑπόδικοι γενόμεθα. Οὐκ ἔστι τοῦτο θεμιτόν, οὐκ ἔστι· ἀλλ'

οὐδὲ μνημονεύσωμεν· καὶ τοῦτο πεῖρα τοῦ πονηροῦ· ὃς σκότος ὤν, τὸ φῶς ὑποκρίνεται· ὡς νῦν γὲ τὴν ἕνωσιν προβαλλόμενος τὴν μετ' αὐτῶν, ἀπώλειαν τοῦ παντὸς σώματος τῆς ἐκκλησίας δολιεύσηται· καὶ φανερῶς μὴ πείθειν ἔχων πρὸς τοῦτο ἀδήλως ἐπιχειρεῖ, ἵνα ἐν ἑνὶ τρόπῳ ἀνοίξῃ θύραν, καὶ κορυφώσῃ κακίαν.

Εἰ γάρ λέγοιεν ἐθέλειν ἑνωθῆναι, μεταβληθήτωσαν, καὶ οὕτως ἑνούσθωσαν· εἰ δὲ μετὰ κακίας αὐτῶν τοῦτο βούλονται, οὐ δυνήσονται, καὶ εἰ μέχρι τῶν ψιλῶν ὀνομάτων καταλήγουσι· καὶ τὶ δὲ κοινὸν κοινωνίας καὶ ὀνόματος μνήμη; Καὶ πάνυ μὲν οὖν, ὡς τοῦτο δείξωμεν· νῦν δέ, ὦ τοῦ κέρδους, οὗ κακῶς ἐπιτεύξονται! ἕξουσι γάρ ἐντεῦθεν καὶ τὸ ἀδιόρθωτον, ὡς λαβόντες ὅ θέλουσι. Οὐ γάρ περὶ εὐσεβείας αὐτοῖς αἱ λογομαχίαι καὶ αἱ συζητήσεις ὡς φαίνεται· εἰ γάρ ἂν ἤθελον, τὶ ἦν τὸ προσιστάμενον; κοινῆς οὔσης, καὶ ἀμίσθου, καὶ ἀμόχθου, καὶ ὁμοτίμου, δούλοις δεσπόταις, πένησι, πλουσίοις, εὐγενεστέροις, ἀγενεστέροις, ὄφλουσιν, οὐκ ὄφλουσιν, ὡς ἀέρος πνεῦσις, καὶ φωτὸς χύσις, καὶ ὡρῶν ἀλλαγαὶ καὶ κτίσεως θέα, τοῦ μεγάλου καὶ κοινοῦ πᾶσιν ἡμῖν ἐντρυφήματος, καὶ ἰσομοιρία πίστεως, κατὰ τὸν μέγαν ἐν Θεολογίᾳ Γρηγόριον,, κἂν αὐτοὶ μετὰ τῶν λοιπῶν μεγάλων πατέρων ἡμῶν Βασιλείου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ τοῦτον παρ' οὐδενὶ τίθενται, ὧν τὸ κλέος τῶν λόγων, καὶ ἡ τοῦ πνεύματος δύναμις πᾶσαν τὴν γῆν περιέλαβεν.

Ἀλλὰ γάρ ἄκουσον, ἅγιε Δέσποτα, τὴν ὑπόσχεσιν ἐκ τῶν τοῦ παναγίου Πνεύματος λόγων, ὧν οὐδεμία κεραία διαπεσεῖν δύναται. Ὁ μέγας τοῦ Κυρίου ἀπόστολος καὶ εὐαγγελιστὴς Ἰωάννης ὁ θεολόγος λέγει: «εἴ τις ἔρχεται πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει μεθ' ἑαυτοῦ, χαίρειν αὐτῷ μὴ λέγετε καὶ εἰς οἰκίαν μὴ λαμβάνετε· ὁ γάρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς». Εἰ δὲ ἁπλῶς ἐν ὁδῷ χαίρειν αὐτῷ κωλυόμεθα λέγειν, εἰ τὸ εἰσάγειν εἰς οἰκίαν κοινὴν εἰργόμεθα, πῶς οὐκ ἐν οἰκίᾳ, ἀλλ' ἐν ναῷ Θεοῦ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδύτοις ἐπὶ τῆς μυστικῆς καὶ φρικτῆς τραπέζης τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀθύτως σφαγιαζομένου· τὸ μὲν, ὡς Θεοῦ τὸ δέ, ὡς ἀμνοῦ ἀμώμου, ἵνα ἡμᾶς ἐξιλάσηται τῷ Πατρὶ καὶ ἑαυτῷ, καὶ τῆς ἁμαρτίας ἡμῶν, διὰ τοῦ ἰδίου αἵματος καθαρίσῃ ὁ ἀναμάρτητος; Ποῖος ἄδης ἐρεύξεται τὸ μνημόσυνον τοῦ παρὰ τοῦ Ἁγίου Πνεύματος ἐκκοπέντος

ἀξίως, ὡς κατὰ Θεοῦ καὶ τῶν θείων τραχηλιάσαντος, καὶ διὰ τοῦτο ἐχθρὸς τοῦ Θεοῦ γενήσεται.

(Περὶ τοῦ μνημοσύνου τοῦ πάπα)

Εἰ γάρ τὸ ἁπλῶς χαίρειν εἰπεῖν, κοινωνίαν δίδωσι τοῖς ἔργοις τοῖς πονηροῖς, πόσον ἡ διάτορος αὐτοῦ μνημοσύνη καὶ ταῦτα αὐτῶν τῶν θείων μυστηρίων φρικτῶς προκειμένων; Εἰ δὲ ὁ προκείμενος αὐτὸς ἐστιν ἡ αὐτοαλήθεια, πῶς ἂν τὸ μέγα ψεῦδος τοῦτο δέχηται εἰκάζειν εἰκός, τὸ συντάττειν αὐτὸν ὡς ὀρθόδοξον Πατριάρχην μετὰ τῶν λοιπῶν ὀρθοδόξων Πατριαρχῶν, ἐν καιρῷ φρικτῶν μυστηρίων, σκηνικῶς παίζομεν καὶ τὸ μὴ ὂν ὡς ὂν ὑποκρινόμεθα; Καὶ πῶς ταῦτα ἀνέξεται ὀρθοδόξου ψυχή, καὶ οὐκ ἀποστήσεται τῆς κοινωνίας τῶν μνημονευσάντων αὐτίκα, καὶ ὡς καπηλεύσαντας τὰ θεῖα τούτους ἡγήσεται; Ἄνωθεν γάρ ἡ τοῦ Θεοῦ ὀρθόδοξος Ἐκκλησία τὴν ἐπὶ τῶν ἀδύτων ἀναφορὰν τοῦ ὀνόματος τοῦ Ἀρχιερέως, συγκοινωνίαν τελείαν ἐδέξατο τοῦτο. Γέγραπται γάρ ἐν τῇ ἐξηγήσει τῆς θείας λειτουργίας, ὅτι ἀναφέρει ὁ ἱερουργῶν τὸ τοῦ ἀρχιερέως ὄνομα, δεικνύων καὶ τὴν πρὸς τὸν ὑπερέχον ὑποταγήν, καὶ ὅτι κοινωνὸς ἐστιν αὐτοῦ, καὶ πίστεως καὶ τῶν θείων μυστηρίων διάδοχος. Καὶ ὁ μέγας πατήρ ἡμῶν καὶ ὁμολογητὴς Θεόδωρος ὁ Στουδίτης ταῦτα λέγει πρός τινα, διὰ τῆς τιμίας αὐτοῦ ἐπιστολῆς «ἔφης δὲ μοι, ὅτι δέδοικας εἰπεῖν τῷ πρεσβυτέρῳ σου μὴ ἀναφέρειν τὸν αἱρεσιάρχην, καίτοι περὶ τούτου εἰπεῖν σοι τὸ παρόν, οὐ καταθαρρῶ· πλὴν ὅτι μολυσμὸν ἔχει ἡ κοινωνία ἐκ μόνου τὸ ἀναφέρειν αὐτόν, κἂν ὀρθόδοξος εἴη ὁ ἀναφέρων».

Ταῦτα μὲν ὁ πατήρ· πρὸ δὲ τούτου καὶ ὁ Θεὸς τοῦτο ἐσήμανεν οὕτως εἰπών: «ἱερεῖς ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου»· πῶς; ὅτι βεβήλοις καὶ ὁσίοις οὐ διέστελλον, ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά· τί τούτου φωτεινότερον καὶ ἀληθέστερον; Ἀλλ᾽ ὡς οἰκονομίαν τοῦτο ποιήσωμεν; καὶ πῶς δεχθήσεται οἰκονομίαν τὰ θεῖα βεβηλοῦσαν κατὰ τὸν τοῦ Θεοῦ εἰρημένον λόγον καὶ ἐκ τῶν θείων ἀπωθοῦσαν τὸ τοῦ Θεοῦ Πνεῦμα καὶ τῆς ἐντεῦθεν ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τῆς υἱοθεσίας τοὺς πιστοὺς ἀμετόχους ποιοῦσα; καὶ τί ἂν εἴη ταύτης τῆς οἰκονομίας ζημιωδέστε-

ρον; αὕτη ἐστιν κοινωνία αὐτῶν πρόδηλος, καὶ ἐν ἑνὶ τοῦ ὀρθοῦ ἔκπτωσις καὶ ἀνατροπή· ὁ γὰρ αἱρετικὸν δεχόμενος, τοῖς αὐτοῦ ὑπόκειται ἐγκλήμασι καὶ ὁ ἀκοινωνήτοις κοινωνῶν ἀκοινώνητος ἐστίν, ὡς συγχέων τὸν κανόνα τῆς ἐκκλησίας· καθὰ δὴ καὶ οὗτοι οἱ γενναῖοι, τῇ ἀπειθείᾳ τῶν ἐκκλησιαστικῶν θεσμῶν καὶ Ἰουδαίοις, καὶ Ἀρμένιοις καὶ Ἰακωβίταις, καὶ Νεστοριανοῖς καὶ Μονοθελήταις, καὶ ἁπλῶς εἰπεῖν πᾶσαν αἱρετικοῖς συγκοινωνοῦσι, καὶ διὰ τοῦτο μόνον, εἰ μὴ διὰ τὸ ἄλλο, ἀσυγχώρητοι ὁμολογουμένως καὶ ἀκοινώνητοι εἰσὶ καὶ πάσαις ὑπόδικοι ταῖς ἐκείνων θεοστυγέσιν αἱρέσεσιν.

Εἰκὸς δὲ καὶ ἐντεῦθεν ἐκ τοῦ μὴ διαστέλλεσθαι, τῶν αἱρετικῶν δηλαδή, κατὰ τὸν τῆς ἐκκλησίας κανόνα, καὶ τὸν τοῦ Θεοῦ ἄνωθεν νόμον πάσης ἀνάπλεοι αἱρέσεως ἐγένοντο, καὶ οὐκ ἄλλοθεν.

(Περὶ τοῦ πρωτείου)

Τὸ δὲ πρωτεῖον δοῦναι τῷ αἱρετίζοντι κατὰ πάσης τῆς τοῦ Χριστοῦ Ὀρθοδόξου Ἐκκλησίας ὀρθῶς ἔχει; τοῦτο τελεία παραδοχὴ ἐστι καὶ οὐκ οἰκονομία. Οὗτος δὲ τῆς ἐσχάτης οὐκ ἔστιν ἄξιος νῦν· λέγει γάρ ὁ μέγας πατὴρ ἡμῶν Γρηγόριος ὁ Θεολόγος περὶ τῶν μετανοούντων, τὸν θεῖον λόγον κινῶν· «εἰ μὲν οὐ μεταγνόντας, οὐδὲ ἐγὼ δέχομαι, ἢ μὴ καμπτομένους, ἢ μὴ ἀξίως, μηδέ ἀντισηκοῦντας τῷ κακῷ τὴν διόρθωσιν· καὶ ὅταν δέξωμαι, τὴν προσήκουσαν αὐτοῖς ἀπονέμω χώραν»· ποῦ ἐν αὐτῷ καὶ τοῖς μετ' αὐτοῦ ἡ διόρθωσις; ποῦ ἡ ἀντισήκουσις τοῦ καλοῦ; λοιπόν, οὐδὲ τῆς ἐσχάτης εἰσὶν ἄξιοι, πῶς οὖν καὶ πρωτεύσουσι; καὶ κατὰ τινος τὸ κράτος ἕξουσι τῶν θείων Ἐκκλησιῶν; φεῦ· ἄρα καὶ οὐ πεταύροις ἅδου πελάσουσιν οἱ τυφλοῖς ὁδηγοῖς χρησάμενοι, κατὰ τὴν τοῦ ἀψευδοῦς στόματος διδασκαλίαν; καὶ εἰ τὸ φῶς σκότος, τὸ ἑξῆς: δῆλον· «φιλεῖ δέ, καὶ τοῦτο κατὰ τὸν θεολόγον εἰπεῖν μέγαν Γρηγόριον, τῷ ἄρχοντι ἐξομοιοῦσθαι πᾶν τὸ ἀρχόμενον».

Ἐκ ποίων δὲ τῶν ἐκκλησιαστικῶν θεσμῶν, καὶ ἀνακρινοῦσιν, αὐτός τε καὶ τὸ ἀρχιερατικὸν αὐτοῦ τοὺς ἐκκλήτους, οἱ τοὺς θείους κανόνας παντάπασι τῶν ἁγίων συνόδων ἐκβαλόντες, καὶ μηδὲ ὀσμήν, ἢ ἴχνος πνευματικῆς διαγωγῆς ἔχοντες, ἀλλὰ αἱρε-

τίζοντες ἐν πολλοῖς; Ἀληθῶς συγχύσεως τὴν Ἐκκλησίαν πληρώσουσι τῶν σκανδάλων· οὐδὲ γὰρ μιχθήσονται τὰ ἄμικτα· οὐδὲ συγκλωσθήσονται τὰ ἀσύγκλωστα: «τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ ἐσεῖται; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος;» καὶ ὀρθοδόξοις καὶ αἱρετίζουσι, κατὰ τὰ θεῖα λόγια, ὧν μᾶλλον καὶ ὁλοτελῶς διαστέλλεσθαι ὁριζόμεθα; καὶ ἄνωθεν καὶ αὐτὸς ὁ Θεὸς ἐνετείλατο εἰπών: «Καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐκ μέσου ἡμῶν», καὶ ἐν ἑτέροις οὐ μετρητοῖς· ὡσαύτως καὶ τὸ ἐν τῇ καινῇ ἐκεῖνο τὸ: «ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν» καὶ τὰ ἑξῆς περὶ τῶν σκανδαλιζόντων μελῶν, τίσιν ἄλλοις ἢ τοῖς τοιούτοις πλέον ἁρμόζει;

Καὶ ὁ Παῦλος δὲ ὁ μέγας διὰ τοῦ αὐτοῦ Κυρίου τοῦ καὶ ἐν αὐτῷ λαλοῦντος, τὰ ὅμοια τρανεῖ λέγων: «αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ· εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος», καὶ πάλιν: «στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν». Καὶ ἐν ἄλλοις δέ, τοῖς τοιούτοις μηδὲ συνεσθίειν ὅλως παραγγέλει. Συνωδὰ δὲ καὶ ὁ θεοφόρος καὶ μέγας πατὴρ ἡμῶν Ἰγνάτιος ἐπιστέλλει προφυλάττων ἡμᾶς ἀπὸ τῶν θηρίων, τῶν ἀνθρωπομόρφων, αἱρετικῶν, οὓς οὐ μόνον οὐ δεῖ ἡμᾶς παραδέχεσθαι, ἀλλὰ εἰ δυνατόν, μὴ συναντᾶν. Οἷς δὲ συνεσθίειν οὐχ ὁριζόμεθα, οἷς τὸ χαίρειν εἰπεῖν διὰ τὸ παντάπασιν ἀμιγές, ὧν τὸ συνάντημα, εἰ δυνατόν, φύγομεν, ***πῶς πρώτους εἶναι καὶ ἀνακριτὰς τῶν Ὀρθοδόξων Ἐκκλησιῶν ὅλως δικαιώσομεν, καὶ μνημόσυνον αὐτῶν ὡς ὀρθοδόξων ἐπ' ἐκκλησίας, καὶ ἐπ' αὐτῆς τῆς μυστικῆς τραπέζης σαλπίσωμεν, ἵνα μηδὲ ταύτην ἀφῶμεν ἀβέβηλον, τοῦ ἁγιάζειν ἡμᾶς;***

* * *

(Ἐπιλεγόμενα)

Μηδαμῶς τοῦτο παραχωρήσῃς, διὰ τὴν ἁγίαν ψυχήν σου· μηδαμῶς, βασιλεῦ ἅγιε καὶ θεόδμητε αὐτοκράτορ, καὶ ἐν αὐτῷ χριστοπόθητε καὶ φιλοχρηστότατε, ἀλλὰ μένε, ὡς μένεις Χριστοῦ τῇ χάριτι, «ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης· εἰδὼς παρὰ τίνος ἔμαθες»·

τὴν καλὴν παρακαταθήκην φύλαξον ἐκτρεπόμενος», κατὰ τὴν μεγάλου ἀποστόλου διδασκαλίαν, «τὰς βεβήλους κενοφωνίας τῆς ψευδωνύμου γνώσεως· ἣν τινες ἐπαγγελλόμενοι, περὶ τὴν πίστιν ἠστόχησαν»· ἵνα διὰ σοῦ μετὰ σοῦ καὶ τῶν σῶν πανοικεὶ τῶν θεοδοξάστων, καὶ ἡμεῖς ἅπαν τὸ χριστιανικὸν πλήρωμα ὀρθοδοξοτάτως, καὶ ὡς Θεῷ φίλον, τηρηθείημεν εἰς τὴν ἡμέραν τῆς ἐπιφανείας τοῦ Κυρίου, καὶ ἄμεμπτοι σὺν ὑμῖν καὶ αὐτοὶ τῆς αὐτοῦ Βασιλείας κληρονόμοι γενώμεθα αἰωνίως. Πιστὸς ὁ Θεὸς ὁ καλῶν ἡμᾶς, ὃς καὶ ποιήσει, ἐὰν τὰς ἐντολάς αὐτοῦ τηρήσωμεν, χάριτι τοῦ Χριστοῦ ἐν πνεύματι Ἁγίῳ. Ἀμήν».

Διὰ τὸ ἀνωτέρω κείμενον εἴχομεν ὑπ' ὄψει (κυρίως) τὸν κώδικα Ἰβήρων 4502 (382) τοῦ ιε' αἰῶνος, φύλλ: 683β - 687β· καὶ τὸ φυλλάδιον: «Φωνὴ ἐξ Ἁγίου Ὄρους. Πρόλογος. Ἐπιστολὴ τῶν Ἁγιορειτῶν Πατέρων...,» Ἅγιον Ὄρος 1968, σσ. 30, τὸ ὁποῖον συνετάχθη, ἀσφαλῶς, βάσει τοῦ ἀνωτέρω κώδικος. Γράφομεν τοῦτο, διότι ὁ κώδιξ τῆς Λαύρας Μ. 105 (117) τοῦ ιη' αἰῶνος, ὁ περιέχων τὴν ἀνωτέρω ἐπιστολὴν παραδίδει κείμενον ἐλλειπὲς καὶ ἐν πολλοῖς ἀνακριβές, ὡς δύναταί τις νὰ διαπιστώσῃ καὶ ἐκ τῆς ἐκδόσεώς του ἐν: Γρηγόριος Παλαμᾶς, τόμ Θ' (1925) σ. 147 - 158.



Ἐκ τοῦ «κατὰ Λατίνων» λόγου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μ ε λ ε τ ί ο υ τοῦ Γ α λ η σ ι ώ τ ο υ, ὑπόθεσις ὀγδόη φέρουσα τὸν τίτλον: Ὅ τ ι α ἱ ρ ε τ ι κ ο ί ε ἰ σ ι ν ο ἱ Λ α τ ῖ ν ο ι κ α ὶ ο ἱ σ υ γ κ ο ι ν ω ν ο ῦ ν τ ε ς α ὐ τ ο ῖ ς ἀ π ό λ λ υ ν τ α ι(*).

10

Νῦν δὲ τῆς ὑποθέσεως ἄρχομαι τῆς ὀγδόης,
ἐν ᾗ καθυποδείξω σοι Θεοῦ τῇ συνεργίᾳ,
ὅτι κἂν λέγωσι τινὲς τῶν καθ᾽ ἡμᾶς ποιμένων,
ἐξ ἀμαθείας τῶν Γραφῶν, ἢ καθ᾽ ἑτέρους τρόπους,
ὡς Ἰταλῶν τὰ σφάλματα βραχύτατα τυγχάνει,
ὡς οὐκ εἰσὶν αἱρετικοί, μηδ᾽ ἀποκεκομμένοι
τοῦ τῶν πιστῶν συστήματος, ἔκ τινος τῶν ἁγίων,
οὐδὲ τὸ τούτοις κοινωνεῖν, σφάλμα ψυχῆς καὶ βλάβη·
ψευδῶς φασι, κακῶς φασι, μακρὰν τῆς ἀληθείας·
μέγιστα γὰρ ἐσφάλησαν καὶ πάμπλειστα Λατῖνοι·
πᾶς τῶν πατέρων ὁ χορὸς αὐτοὺς καταδικάζει,
αἱρετικοῖς συντάττεται, καὶ σύμπας ὁ Λατίνοις
συγκοινωνῶν μεμέρισται Χριστοῦ καὶ τῶν ἁγίων·
καὶ γοῦν ἐντεῦθεν καταρχὴν ὁ λόγος λαμβανέτω,
Θεὸς δὲ τοῦτον ἄνωθεν εἰς τέλος εὐοδοίη.

* * *

Θεόθεν γὰρ καταυγασθεὶς τοῦ λογισμοῦ τὰς κόρας,
φησί που Παῦλος ὁ σόφος τοῦ Πνεύματος δοχεῖον,

* Βλέπε σχετικῶς κεφ. Ζ′ τοῦ Α′ Μέρους.

τὸ στόμα τὸ Δεσποτικόν, τὸ φῶς τῆς Ἐκκλησίας,
ὡς σύμπαν εὐαγγέλιον ἀνέτρεψαν ἐκ βάθρων,
οἱ καὶ μικρὸν τολμήσαντες αὐτοῦ καινοτομῆσαι·
καὶ πάλιν ὁ Χρυσόστομος τοὺς λόγους ἑρμηνεύων,
οὓς Παῦλος ἀποφαίνεται κατὰ τῶν παραδόσεις.
ἅσπερ αὐτὸς παρέδωκε, τολμώντων παραβαίνειν·
πᾶς ὁ παρὰ τὰ πρότερον ἡμῖν παραδοθέντα
εὐαγγελίζεσθαι τολμῶν, ἀνάθεμα κραυγάζων·
Παῦλος, φησίν, οὐκ εἴρηκεν, ἐάν τις ἐναντία
ὑμῖν εὐαγγελίζεται, καὶ σύμπαν ἀνατρέπει,
ἀλλ' εἰ τις καὶ βραχύτατον τῶν παραδεδομένων
μετακινεῖν ἐπιχειρῇ, κἂν καὶ μικρόν τι λέγῃ
τούτων ἐκτὸς ἀνάθεμα· καὶ γὰρ καὶ τὰ δοκοῦντα
ἐλάχιστα, παμμέγιστα πέφυκεν ἐν τοῖς θείοις.
Καὶ πάλιν ἔφη τις σοφὸς τῆς εὐσεβοῦς θρησκείας,
ὁ καὶ βραχὺ παρατραπείς, ἢ καὶ μεταποιήσας
ὀλίγον τι τῶν εὐσεβῶν καὶ πατρικῶν δογμάτων,
ἁπάσῃ λυμαινόμενος τῇ πίστει καθορᾶται,
καὶ καταδίκην ὡς τὸ πᾶν ἠθετηκὼς ὑποίσει.
Ὁ δὲ σεπτὸς Βασίλειος ἡ βάσις τῶν δογμάτων,
τὸ καὶ παράπαν ἀθετεῖν τι τῶν γραφέντων ἔφη,
ἔκπτωσίς ἐστι φανερὰ τῆς πίστεως ἁπάσης·
ὡσαύτως πέφυκε δεινὸν καὶ πλῆρες ἀτοπίας,
τὸ παρεισάγειν τι μικρὸν ἐκ τῶν μὴ γεγραμμένων·
καὶ πάλιν οὗτος εἴρηκεν ὁ μέγας ἐν ἑτέρῳ,
καινοτομία τάξεως, ἄρνησις εὐσεβείας,
καὶ πίστεως καθολικῶς ἀθέτησις ἁπάσης.
Καὶ πάλιν ὁ Χρυσόστομος ἡ θάλασσα τῶν λόγων
ὁ καὶ μετὰ τὸν πρόδρομον τῆς μετανοίας κῆρυξ,
φησίν ὁπόταν τι βραχὺ κακὸν εἰσενεχθείη,
προσθήκαις καινοτομιῶν ἐπινοεῖν ἀνάγκη·
ἄπειρος γάρ, ἀβέβαιος, ἀσύστατος ἡ πλάνη,
πέρας οὐδ' ὅλως ἔχουσα, καὶ λῆξιν οὐκ εἰδυῖα·
εἴ γάρ τις κἂν ἐπὶ βραχὺ τοῦ σωστικοῦ λιμένος,
κινήσεων ἐκδιωχθῇ πνευμάτων ἐναντίων,
εἰς πέλαγος εἰσάγεται, κίνδυνον ὑπομένει,

πολλάκις δὲ καὶ φθείρεται· βαβαὶ τῆς ἀπωλείας!
Οὗτος ὁ μέγας εἴρηκεν ἐν ἄλλοις τούτου λόγοις,
καθάπερ πᾶς ὁ τὸ κοινὸν μὴ στέργων τῆς οὐσίας,
ὁμολογεῖν ἀναγκασθῇ πολυθεΐαν πάντως,
οὕτως τὰς ἰδιότητας ὁ μὴ παραφυλάττων,
μή δ' ἀμιγεῖς διατηρῶν παντάπασιν ἀλλήλοις,
Ἰουδαΐζων φωραθῇ χριστιανῶν τὸ σέβας,
ἐκ τῆς μικρᾶς παρατροπῆς εἰς τέλος ἀπολέσας.
Καὶ τὸ κακὸν ἀεὶ κακόν, Ταράσιοις εἰρήκει,
καὶ μᾶλλον ἐν τοῖς ὑψηλοῖς καὶ τοῦ Θεοῦ καὶ θείοις,
ἐν τοῖς ἐκκλησιαστικοῖς, ἐν τοῖς περὶ δογμάτων·
τὸ πταίειν πταίειν πέφυκε, κἂν ἐν μικροῖς ὑπάρχῃ,
κἂν ἐν μεγάλοις πράγμασι συμβαῖνον θεωρεῖται·
νόμος γὰρ ἀμφοτέρωθεν ὁ θεῖος ἀθετεῖται.
Εὐλόγιος ὁ θαυμαστὸς πάπας Ἀλεξανδρείας,
εἴ τις φησι, τῶν τοῖς σεπτοῖς πατράσι δεδογμένον
παρασαλεύει τι βραχύ, μικρόν τι μετατρέπει,
τοῦτο παράβασις ἐστιν, ἀλλ' οὐκ οἰκονομία,
καὶ προδοσία δόγματος καὶ λύσις εὐσεβείας·
Ἡ δὲ δευτέρα σύνοδος ἐν τοῖς αὐτοῖς Κανόσιν
ὅ παρὰ τὴν παράδοσιν, φησίν, τῆς ἐκκλησίας,
κἂν ἔγγραφον, κἂν ἄγραφον τὸ παραδεδομένον
τολμήσων τι καινοτομεῖν, ἀφωρισμένος ἔστω·
ἀποκοπτέσθω τῶν πιστῶν, ἀναθεματιζέσθω·
ἑνὸς καὶ γάρ καθὼς φησιν ἀτόπου δεδομένου,
μυρία πάντως ἄτοπα παρέψεται καὶ πλεῖστα·
ὡσαύτως κατακρίνομεν τοὺς προστιθέντας πάντας
τοῖς τῶν πατέρων δόγμασι, καὶ τοὺς ἀφαιρουμένους·
ἥπερ ἁπλῶς καὶ σύμπασαι σύνοδοι συμφωνοῦσιν.
Ἡ δ' ἐν τῷ Τρούλλῳ σύνοδος οὕτω, κατ' ἔπος λέγει
πᾶς ὡς ἁπλῶς οὐχ ἅπαντα Χριστοῦ τῆς Ἐκκλησίας,
δόγματα καὶ διδάγματα, καὶ θείας παραδόσεις
ἀπὸ ψυχῆς ἀσπάζεται, καὶ σπεύδει καὶ κηρύττει,
οὗτος ὡς ἄφρων καὶ θρασὺς ἀναθεματιζέσθω.
Ἄλλη δὲ πάλιν σύνοδος ἐν ὅροις τοῖς οἰκείοις,
ἔστω φησὶν ἀνάθεμα σύμπας ὁ μὴ φυλάττων

τῆς Ἐκκλησίας τοῦ Χριστοῦ τὰς παραδόσεις πάσας.
Ἡ δ' ἐν τοῖς χρόνοις Μανουὴλ τοῦ Κομνηνοῦ δεσπότου
συναθροισθεῖσα σύνοδος, ὡσαύτως ταῖς πρὸ ταύτης,
πάντα τὸν παραβαίνοντα τοὺς τῶν πατέρων νόμους,
καὶ τῶν ἁγίων τὰς φωνάς, καὶ τὰς διδασκαλίας,
ἀλλά τι διαστρέφοντα καὶ ταύτας ἀλλοιοῦντα,
καὶ πρὸς τὰ χείρω τρέποντα δεινῶς, κακογνωμόνως,
τῷ τῶν ἀναθεματισμῶν καθυποβάλλει βάρει.
Ἐν δὲ τῷ τῆς ἑνώσεως γέγραπται πάλιν τόμῳ,
πᾶσι τοῖς καταφρονηταῖς Κανόνων τῶν ἁγίων,
οἵτινες ὑπερείδουσι Χριστοῦ τὴν Ἐκκλησίαν,
οἵτινες τὴν τῶν εὐσεβῶν κοσμοῦσι πολιτείαν
καὶ πάντας πρὸς εὐλάβειαν ἀνθρώπους ὁδηγοῦσιν,
ἀνάθεμα καὶ καθεξῆς, μετὰ τὰ πλεῖστα φᾶναι
καὶ τοῦτο προστεθείκασι τοῖς φθάσασι ῥηθῆναι.
Οὐκοῦν εἴ τις ἐλάσειεν εἰς τόσον ἀπονοίας
ὡς ἀφαιρεῖν ἐκ τοῦ σεπτοῦ τῆς πίστεως συμβόλου,
ἢ καὶ προσθήκην ἐν αὐτῷ τὴν οἱανοῦν ποιεῖσθαι,
ὡς τολμητίαις πεφυκὼς ἀναθεματιζέσθω.
Καὶ Κελεστῖνος ὁ σεπτὸς πάπας τῆς πάλαι Ῥώμης,
ὥσπερ προβλέπων πόρρωθεν τὰ μέλλοντα συμβαίνειν·
τίς γὰρ οὐκ ἄξιος, φησίν, ἀναθεματισθῆναι,
ὁ καὶ μικρὸν ἀφηρηκὼς, ἢ καὶ προσθεὶς τῇ πίστει;
Σὺν τούτῳ δὲ καὶ Δάμασος διάδοχος τοῦ θρόνου,
καὶ πάπας Ῥώμης παλαιᾶς μετὰ τὸν Κελέστῖνον,
μακρόθεν ἀπεφήναντο καθ' Ἰταλῶν τοιαῦτα,
ὡς προορῶν τῷ πνεύματι τὰς τούτων αὐθαδείας,
καὶ τὴν εἰς ὕστερον αὐτῶν προβλέπων βλασφημίαν·
ὅς οὐ δοξάζει καὶ φρονεῖ καὶ λέγει καὶ κηρύττει,
κυρίως ἀπὸ τοῦ Πατρὸς ἐκπορευτὸν τὸ Πνεῦμα,
κἀκτούτου καὶ τὴν ὕπαρξιν ἀληθεστάτως ἔχον,
καὶ τὸν Υἱὸν ἐκ τῆς αὐτῆς οὐσίας γεννηθέντα,
καὶ ταύτης προερχόμενον, ἀναθεματιζέσθω.

* * *

Ἔγνως ἐξ ὧν εἰρήκαμεν ὀλίγων παρανόμων,
ἐν δόγματι βλασφημιῶν, παρατροπῶν ἐν ἔθει,
τοὺς Ἰταλοὺς αἱρετικούς; πῶς γοῦν ἡ κοινωνία
ἡ μετὰ τούτων ἀβλαβὴς τοῖς ἐκτελοῦσι ταύτην;
ἢ πῶς οὐκ ἂν αἱρετικοὶ κληθεῖεν οἱ Λατῖνοι,
τοσαῦτα παραβαίνοντες, καινίζοντες τοιαῦτα;
Εἰ γάρ μικρὰ παρατροπὴ τῆς εὐσεβοῦς θρησκείας
αἱρετικὸν παρίστησι τὸν ταύτῃ κρατηθέντα,
πῶς ὁ πολλὰ καὶ χαλεπὰ παρανομῶν ἀφρόνως,
ὁ δόγματα καινότατα νομοθετῶν ἀνόμως,
ὁ παραλόγοις ἔθεσιν ἀλόγως κεχραμένως,
οὐκ ἂν τοῖς αἱρετίζουσι συντάττοιτο δικαίως;
καίτοι γε κώδιξ βεβαιοῖ πρῶτος τῆς πρώτης βίβλου,
ὡς αἱρετίζων πέφυκε καὶ νόμοις ὑποπίπτει
τοῖς κατὰ τῶν αἱρετικῶν, καὶ ταῖς αὐταῖς εὐθύναις,
ὁ παρεκκλίνων τι μικρὸν ἐκ τῆς ὀρθοδοξίας·
δεύτερον δὲ κεφάλαιον τῶν νόμων τῶν ἀνάκτων
Λεόντος τοῦ πανευσεβοῦς, πρὸς δὲ καὶ Κωνσταντίνου,
νόμοι φησίν,αἱρετικοὺς καλοῦσι, καὶ Κανόνες
πάντας τοὺς ταῖς καθολικαῖς καὶ θείαις ἐκκλησίαις
μὴ βουλομένους κοινωνεῖν· καὶ τοὺς παραχαράττειν
ἐν τῷ συμβόλῳ τῷ σεπτῷ, καίτοι βραχὺ τολμῶντας.
Τί λέγεις; οὐχ αἱρετικοὺς καὶ Ἰταλοὺς προδήλως
ἅπαντα ταῦτα παριστᾷ, καὶ φανερῶς ἐλέγχει,
καὶ σὺν αὐτοῖς ἀθετητάς τῶν ὅρων ἀληθείας,
ἅπαντας ἀποδείκνυσι τοὺς καθ' ἡμᾶς ποιμένας,
τοὺς ἀξιοῦντας Ἰταλοῖς συγκοινωνεῖν ἀφόβως,
ὡς σφαλλομένοις μηδαμῶς εἰς τὴν ὀρθοδοξίαν;
Καίτοιγε δέκατος κανὼν φησι τῶν Ἀποστόλων,
ἅπερ ἀνήρ ἀφορισμοῦ καθυποκείσθω βάρει,
κἂν οἴκῳ γοῦν συνεύξαιτο τισὶν ἀκοινωνήτοις·
συνόδου δ' ἔνγατος Κανὼν ὁ τῆς ἐν Καρθαγένῃ,
ἅπας φησίν αἱρετικοῖς συγκοινωνῶν κατά τι,
καὶ τούτοις συνευχόμενος πιστὸς εἰς κοινωνίαν,
παράπαν ἀπαράδεκτος δικαίως τυγχανέτω,
καὶ τῶν ποθούντων εὐσεβεῖν μακρὰν ἀποβαλλέσθω.

Κανὼν δὲ πάλιν εἰκοστὸς ἔνατος τῆς συνόδου
τῆς εἰς τὴν Λαοδίκειαν συναθροισθείσης πόλιν,
ὁ συνευχόμενος, φησίν, αἱρετικοῖς αὐτίκα
καθαιρεθεὶς, καὶ τῶν πιστῶν ἀφοριζέσθω πόρρω·
καὶ πάλιν ἄλλος τῆς αὐτῆς ἕκτος κανὼν προστάσσει,
αἱρετικοὺς ἐν τοῖς ναοῖς μηδ' ὅλως εἰσιέναι,
ἐν οἷς συνάγονται πιστοὶ πρὸς αἴνεσιν Κυρίου.
Ἄλλος κανὼν δὲ τῆς αὐτῆς τριακοστὸς καὶ τρίτος,
ἀπείργει τοῖς αἱρετικοῖς πιστοὺς συνεστιᾶσθαι·
συνόδου τῆς ἐν Σαρδικῇ πάλιν κανὼν κελεύει,
ἐγκλήμασιν αἱρετικῶν, καὶ ταῖς αὐταῖς εὐθύναις
ἅπερ ἀνὴρ ὁ κοινωνῶν αὐτοῖς καθυποκείσθω·
φησὶ καὶ τὸ συνοδικὸν, ἅπασι τοῖς ἐν γνώσει
συγκοινωνεῖν αἱρετικοῖς ἀνεχομένοις ὅλως
βάρος ἀναθεματισμοῦ δεόντως ὑποκείσθω·
Ὁ δὲ χρυσόγλωττος πατὴρ ἐν πλείστοις καὶ πολλάκις
οὐ στέργω καὶ τὸ φρόνημα παντάπασι κακίζω,
τούτων εἰκὸς ἐκφεύγειν με καὶ τὴν συγκοινωνίαν·
καὶ ταῦτα προεκθέμενος, εὐθέως ἐπιφέρει·
ἄλλως σωθῆναι τὸν πιστὸν καὶ λύτρωσιν πταισμάτων
ἀπολαβεῖν παρὰ Θεοῦ, καὶ τῆς ἐπουρανίου
ζωῆς καὶ καταπαύσεως γενέσθαι κληρονόμον,
εἰ μὴ τελέως ἀποστῇ τῶν μὴ καλῶς φρονούντων,
τὴν μετὰ τῶν αἱρετικῶν ἐκκλίνας κοινωνίαν,
ἀμήχανον, ἀδύνατον καθέστηκε τελείως.
Ὁ δὲ χρυσόγλωτος πατὴρ ἐν πλείστοις καὶ πολλάκις
ὑμᾶς ὑπέμνησα, φησίν, ἀγαπητὰ τεκνία,
περὶ τῶν ταῖς αἱρέσεσι δεινῶς περιπιπτόντων·
ἀλλὰ νυνὶ καὶ δέομαι, καὶ δυσωπῷ προθύμως
μηδ' ὅλως τοῖς αἱρετικοῖς κατά τι κοινωνεῖτε,
μηδὲ συγκαταβαίνετε τῇ τούτων βλασφημίᾳ·
μὴ βρώμασι, μὴ πόμασι, μὴ σχέσει, μὴ φιλίᾳ,
αὐτοῖς συναναμίγνυσθε· καὶ γάρ ἐκ τούτων πάντων
τῆς τοῦ Χριστοῦ μερίζεσθε καθολικῶς ἀγάπης,
καὶ βασιλείας οὐρανῶν μακρὰν ἀλλοτριοῦσθε.
Εἰ γάρ ἐχθροῖς βασιλικοῖς ὅστις συμφιλιάζει,

τοῦ βασιλέως οὐδαμῶς δύναται φίλος εἶναι,
μᾶλλον μὲν οὖν καὶ τοῖς ἐχθροῖς αὐτοῦ συγκατεκρίθη,
πῶς ὁ τοῖς βλασφημήσασι τὸν τοῦ παντὸς Δεσπότην,
εἰς ἕνωσιν ἐρχόμενος φίλος ἐσεῖται τούτου;
ἢ πῶς συγκοινωνήσειε τοῖς τούτου κληρονόμοις;
Ὁ δὲ Γρηγόριος, φησίν, ὁ μέγας θεολόγος.
τίνων ἁγίων σώμασι χεῖρας ἡμεῖς ἀφέντες,
ὥσπερ ἡμᾶς ὑβρίσαμεν τὴν φύσιν παρανόμως·
ὑμεῖς δὲ πεποιήκατε τοιαύτας ἀτοπίας.
ἓν μόνον ἐγκαλέσαντες τὸ μὴ τῇ δυσσεβείᾳ
συνθέσθαι, μὴ δὲ τῇ κακῇ χραγθῆναι κοινωνίᾳ·
ἣν ὡς ἰὸν τῶν ὄφεων ἀπὸ ψυχῆς στυγοῦμεν,
ἀπὸ καρδίας φεύγομεν ὡς πάντη βδελυκτέαν.
Ὁ δὲ Στουδίτης ὁ σοφὸς, ὁ μέγας ἐν πατράσιν,
ἡ τῶν αἱρετικῶν, φησι, βραχεῖα κοινωνία,
τοῖς ὀρθοδόξοις μολυσμὸν οὐ τὸν τυχόντα φέρει·
ἕτερος οὐ τῶν εὐτελῶν, οὐδὲ τῶν ἀνωνύμων,
ὁ κοινωνῶν αἱρετικοῖς ὁμοίως τούτοις λέγει,
καὶ τῆς μερίδος εἴρηκε τῆς τούτων κληρονόμος.
Καὶ πάλιν ἄλλος ἀκουστὸς κατὰ τοὺς προρρηθέντας,
ἅπας ἀνὴρ αἱρετικοῖς συμφιλιάζειν θέλων,
καὶ τῆς μερίδος εἴρηκε τὴν τούτων κληρονόμος.
Καὶ τοῖς ἰδίοις μαθηταῖς Ἀντώνιος ὁ μέγας
παρήγγειλεν, ὡς λέγεται, μηδ' ὅλως κοινωνεῖτε,
τοῖς τῶν σχισμάτων ἀρχηγοῖς, καὶ τοῖς εἰς τὰς αἱρέσεις
παντάπασιν ἀσυντελές ἐστι τὸ προσκολλᾶσθαι·
ἄλλος φησί, καὶ κοινωνεῖν ἀνδράσιν παρανόμοις,
κἂν ἀδελφοὶ τυγχάνειεν, κἂν συγγενεῖς, κἂν φίλοι,
κἂν ἱερεῖς, κἂν βασιλεῖς, κἂν τινες μεγιστάνες.
Καὶ Μιχαήλ ὁ πρόεδρος ταύτης τῆς Κωνσταντίνου,
ὅνπερ καὶ σύνηθες καλεῖν τοὐπίκλην Ἀγχιάλων,
φησί που πρὸς τὸν Μανουήλ τὸν Κομνηνὸν δεσπότην,
Ἀγαρηνὸς σωματικῶς εἴθε κρατήσειέ μου,
καὶ βασιλεῦσαι τῆς σαρκὸς, καὶ κυριεύσειέ μου,
μόνον ψυχῆς αἱρετικὸς μὴ περιγένοιτό μου,
μηδὲ κατά τι συμφωνῶν ἀναδειχθείην τούτῳ,

ἐφ' οἷς ἀντίθετα φρονεῖ, καὶ νόμοις ἀντιπίπτει·
τῷ μέν, δουλεύων σαρκικῶς, οὐχ ὁμογνωμονήσω,
τῷ δέ, ἐν πίστει συμφωνῶν, νόσον ψυχῆς νοσήσῳ,
καὶ μακρυνθῶ τῶν εὐσεβῶν, καὶ τῶν ὀρθοδοξούντων.
Ὁ μέγιστος Ἰγνάτιος, φησί, τοῖς ὑπὸ τοῦτον·
ἅπασαν τίθεμαι σπουδήν, πάντα ποιοῦμαι λόγον.
ὡς ἂν ἐκ τῶν αἱρετικῶν ὑμᾶς παραφυλάξω,
ὥσπερ ἐκ λύκων μανικῶν, θηρῶν ἀνθρωπομόρφων,
οὓς μὴ δέ παραδέχεσθε μήδ' ἀπαντᾶτε τούτοις.
Καὶ πάλιν ὁ περίφημος Βασίλειος εἰρήκει,
οἱ πίστιν προσποιούμενοι τὴν ὑγιᾶ φυλάττειν,
ἀνδράσι κοινωνοῦντες δὲ κακοῖς ἑτεροδόξοις,
εἰ μετὰ πλείστας συμβουλὰς αὐτῶν οὐκ ἀποσταῖεν,
οὐ μόνον λογισθήσονται παρὰ τοῖς ὀρθοδόξοις
ἀνάξιοι τοῖς μετ' αὐτῶν ὑπάρχειν κοινωνίας,
ἀλλ' οὐδὲ δίκαιον αὐτοὺς εἰς ἀδελφοὺς καλεῖσθαι.
Ὁ δὲ Χριστὸς ὡς εἴρηκεν ἐν τοῖς εὐαγγελίοις,
εἰ χείρ σε σκανδαλίσειεν, ἂν ὀφθαλμὸς, ἂν ἄλλο
ἐκ τῶν τοῦ σώματος μελῶν κατὰ ψυχήν σε βλάψῃ,
λυσιτελέστερόν ἐστιν ἀποβαλέσθαι τοῦτο,
ἢ σύν αὐτῷ κληρώσασθαι τὸ πῦρ τὸ τῆς γεένης·
Γίγνωσκε τοίνυν ἀδελφέ, καὶ πέποισο βεβαίως,
καθάπερ φύραμα ζυμοῖ καὶ βραχυτάτη ζύμη
διὰ τῆς ἀνακράσεως τὴν μετ' αὐτήν, ὡς οἶδας,
οὕτως ἡ μεθ' αἱρετικῶν μολύνει κοινωνία,
τῶν κοινωνούντων τὰς ψυχὰς τῇ τῶν κακῶν μεθέξει·
καὶ νῦν ὁπόσοι κοινωνεῖν τοῖς Ἰταλοῖς αἱροῦνται,
εἰ μὴ μετανοήσωσι καὶ κλαύσωσιν ἐνταῦθα,
ἴσας αὐτοῖς ὑποίσουσιν ἐν κρίσει τιμωρίας.
Ὁ γοῦν καταδεχόμενος ταυτὶ καταδεχέσθω,
τοῖς δ' εὐσεβοῦσιν ἀληθῶς ὑπολαβεῖν καὶ μόνον,
φρικῶδες καὶ δεινότατον πολλῷ δὲ μᾶλλον πρᾶξαι,
ἢ κοινωνεῖν τοῖς πράττουσιν αὐτὰ καὶ συμμετέχειν·
πᾶσι τοῖς δούλοις τοῦ Χριστοῦ μεμισημένα ταῦτα,
παντάπασιν ἀπόστοργα, καθόλου βδελυκτέα.
Ἰδοὺ διδόντος τοῦ Θεοῦ τοῦ τῶν καλῶν αἰτίου,

τοῦ νέμοντος τὰ κρείττονα τῷ γένει τῶν ἀνθρώπων,
ὁ λόγοις εὐοδούμενος τὴν δύναμιν λαμβάνων,
καὶ τὴν ὀγδόην ἤνεγκεν ὑπόθεσιν εἰς πέρας
τῶν Ἰταλῶν ἐλέγχουσαν πάσας τὰς βλασφημίας,
καὶ τοὺς αὐτῆς συγκοινωνοὺς κακίζουσα τελείως,
καὶ τῶν πιστῶν συστήματος μακρὰν ἀπωθουμένην,
ὡς συμμετέχοντας αὐτοῖς δογμάτων παρανόμων,
καὶ καταδίκην μέλλοντας σὺν τούτοις ὑπομένειν,
καὶ τῇ γεέννῃ τοῦ πυρὸς ἐν σκώληκι καὶ σκότει·
ἐν ᾗ καὶ στίχων ἀριθμὸς δὶς ἑκατὸν καὶ δύο,
ἕτεροί τε πρὸς πενταπλῆν ποσούμενοι δεκάδα.

(Ἐκ τοῦ κώδικος Κ 94 τῇ Μ. Λαύρας, ἐν τῷ τέλει. Ἀρίθμησις ἄτακτος)

ΑΓΙΟΡΕΙΤΙΚΟΣ ΤΟΜΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ

Διὰ τοὺς ἐξ ἰδίας ἀπειρίας καὶ τῆς πρὸς τοὺς Ἁγίους ἀπειθείας ἀθετοῦντας τὰς τοῦ Πνεύματος μυστικὰς ἐνεργείας κρεῖττον ἢ λόγος ἐν τοῖς κατὰ πνεῦμα ζῶσιν ἐνεργουμένας καὶ δι' ἔργων φανερουμένας ἀλλ' οὐ διὰ λόγων ἀποδεικνυμένας (*).

11

Τὰ μὲν ἀρτίως καθωμιλημένα καὶ κοινῇ πᾶσιν ἐγνωσμένα καὶ παρρησίᾳ κηρυττόμενα δόγματα, τοῦ διὰ Μωσέως ὑπῆρχε νόμου μυστήρια, τοῖς προφήταις μόνοις ἐν πνεύματι προορώμενα. Τὰ δ' ἐπηγγελμένα τοῖς ἁγίοις ἀγαθὰ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, τῆς κατὰ τὸ Εὐαγγέλιον πολιτείας ἐστὶ μυστήρια, τοῖς διὰ τοῦ πνεύματος ὁρᾶν ἠξιωμένοις, καὶ τούτοις μετρίως, ὡς ἐν ἀρραβῶνος μέρει, διδόμενά τε καὶ προορώμενα. Ἀλλ' ὥσπερ εἴ τις τότε τῶν Ἰουδαίων, μὴ μετ' εὐχαριστίας ἀκούων τῶν προφητῶν λεγόντων Λόγον καὶ Πνεῦμα Θεοῦ συναΐδιά τε καὶ προαιώνια, συνέσχεν ἂν τὰ ὦτα, δοκῶν ἀπηγορευμένων ἀκούειν τῇ εὐσεβείᾳ φωνῶν καὶ τῆς ἀνωμολογημένης τοῖς εὐσεβέσι φωνῆς ἐναντίων, δηλονότι τῆς λεγούσης· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν· οὕτω καὶ νῦν τάχα ἂν πάθῃ τις μὴ μετ' εὐλαβείας ἀκούων, τῶν μόνοις ἐγνωσμένων τοῖς δι' ἀρετῆς κεκαθαρμένοις μυστηρίων τοῦ πνεύματος. Ἀλλ' ὥσπερ αὖθις ἡ τῶν προρρήσεων ἐκείνων ἔκβασις σύμφωνα τοῖς φανεροῖς ἀνέδειξε τὰ τότε μυστήρια καὶ πιστεύομεν νῦν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα θεότητα

---

* Βλέπε σχετικῶς κεφ. Η' τοῦ Α' μέρους.

τρισυπόστατον, μίαν φύσιν ἁπλῆν, ἀσύνθετον, ἄκτιστον, ἀόρατον, ἀπερινόητον, οὕτω καὶ τοῦ μέλλοντος αἰῶνος, ἐν καιροῖς ἰδίοις ἀποκαλυφθέντος, κατὰ τὴν ἄφραστον ἔκφανσιν τοῦ ἐν τρισὶ τελείαις ὑποστάσειν ἑνὸς Θεοῦ, σύμφωνα τοῖς πᾶσιν ἐκφανήσεται τοῖς φανεροῖς τὰ μυστήρια. Δεῖ μέντοι κἀκεῖνο σκοπεῖν, ὡς εἰ καὶ τοῖς πέρασι τῆς γῆς ὕστερον ἐξεφάνη τὸ τρισυπόστατον τῆς θεότητος, τῷ λόγῳ τῆς μοναρχίας, μηδαμῶς πραγμάτων, ἀκριβῶς ἐγινώσκετο,, καὶ τοῖς αὐτοῖς τηνικαῦτα πειθομένοις εὐπαράδεκτον ἦν, τὸν ἴσον ἄρα τρόπον, οὐδὲ νῦν τοὺς λόγους τῆς ὁμολογίας ἀγνοοῦμεν, τῶν τε παρρησίᾳ κηρυττομένων καὶ τῶν μυστικῶς ἐν πνεύματι τοῖς ἀξίοις προφαινομένων. Οἱ μὲν αὐτῇ τῇ πείρᾳ μεμυημένοι, ὅσοι τῇ τε τῶν χρημάτων κτήσει καὶ τῇ τῶν ἀνθρώπων δόξῃ καὶ ταῖς σωμάτων οὐ καλαῖς ἡδοναῖς, διὰ τὴν Εὐαγγελικὴν ἀπετάξαντο ζωήν, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἀποταγὴν ταύτην, διὰ τῆς πρὸς τοὺς ἐν τῇ κατὰ Χριστὸν ἡλικίᾳ προσήκοντας ἐβεβαίωσαν ὑποταγῆς· ἑαυτοῖς γάρ, καὶ τῷ Θεῷ δι᾽ ἡσυχίας ἀπεριμερίμνως σχολάσαντες καὶ διὰ προσευχῆς εἰλικρινοῦς, ὑπὲρ ἑαυτοὺς γενόμενοι καὶ γεγονότες ἐν Θεῷ, διὰ τῆς πρὸς αὐτὸν μυστικῆς ὑπὲρ νοῦν ἑνώσεως, τὰ ὑπὲρ νοῦν ἐμυήθησαν· οἱ δέ, τῇ πρὸς τοὺς τοιούτους αἰδοῖ καὶ πίστει καὶ στοργῇ· οὕτω τοίνυν καὶ ἡμεῖς, τοῦ μεγάλου Διονυσίου λέγοντος, ἀκούοντες, ἐν τῇ δευτέρᾳ πρὸς Γάϊον ἐπιστολῇ· τὸ τοῦ Θεοῦ θεοποιὸν δῶρον, θεότητα καὶ θεαρχίαν καὶ ἀγαθαρχίαν καὶ τὸν τὴν χάριν ταύτην τοῖς ἀξίοις παρέχοντα Θεόν, ὑπὲρ ταύτην τὴν θεότητα εἶναι πειθόμεθα· πολυπλασιασμὸν γάρ ὁ Θεὸς οὐ πάσχει, οὐδὲ δύο λέγει τις οὕτω θεότητας· ἀλλὰ τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ, ὁ θεῖος Μάξιμος περὶ τοῦ Μελχισεδέκ γράφων, ἄκτιστον εἶναι ἀποφαίνεται, καὶ ἀεὶ οὖσαν ἐκ τοῦ ἀεὶ ὄντος Θεοῦ· ἀλλαχοῦ δὲ πολλαχοῦ ἀγέννητόν τε καὶ ἐνυπόστατον φῶς τοῖς ἀξίοις ἡνίκ᾽ ἂν γένοιντο ἄξιοι φανερούμενον, ἀλλ᾽ οὐ τότε γινόμενον· τοῦτο τὸ φῶς οὗτος καὶ φῶς ὑπεραρρήτου δόξης καὶ Ἀγγέλων καθαρότητα ὀνομάζει. Ὁ δὲ Μέγας Μακάριος, καὶ τῶν ἀσωμάτων τροφὴν καὶ τῆς θείας φύσεως δόξαν καὶ τοῦ μέλλοντος αἰῶνος καλλονήν, πῦρ θεῖον καὶ ἐπουράνιον, φῶς ἄρρητον καὶ νοερόν, ἀρραβῶνα Πνεύματος Ἁγίου, ἁγιαστικὸν ἀγαλλιάσεως ἔλαιον.

Ὅστις οὖν τὴν θεοποιὸν ταύτην χάριν τοῦ Θεοῦ ἄκτιστον

καὶ ἀγέννητον καὶ ἐνυπόστατον λέγοντας, τοῖς Μασσαλιανοῖς συντάττει καὶ διθεΐτας καλεῖ εἴπερ ἄρα τίς ἐστιν, οὗτος ἴστω τοῖς τοῦ Θεοῦ ἁγίοις ἀντικείμενος καὶ τοῦ κλήρου τῶν σωζομένων, εἰ μὴ καταμεληθείη, ἑαυτὸν ἐκβάλλων, καὶ αὐτὸς ἐκπίπτων τοῦ ἑνὸς καὶ μόνου τῶν ἁγίων φύσει Θεοῦ. Ὅστις δὲ πιστεύων καὶ πειθόμενος καὶ συμφθεγγόμενος τοῖς ἁγίοις καὶ μὴ προφασιζόμενος προφάσεις ἐν ἁμαρτίαις, τὸ μὲν φανερῶς λεγόμενον οὐκ ἀποσείεται, ὡς ἀγνοῶν, ἀγνοεῖ δὲ τὸν τρόπον τοῦ μυστηρίου, μὴ ἀπαξιούτω ζητεῖν καὶ μανθάνειν παρὰ τῶν εἰδότων· εἴσεται γάρ, ὡς οὐδὲν ἀνακόλουθον τοῖς θείοις λόγοις καὶ πράγμασι, καὶ ταῦτ' ἐπὶ τῶν ἀναγκαιοτάτων καὶ ὧν ἄνευ οὐδὲν οὐδαμῶς ἂν συσταίη, οὔτε μυστήριον ὅλως θεοπρεπές.

Ὅστις μόνῃ τῇ μιμήσει τε καὶ σχέσει, χωρὶς τῆς θεοποιοῦ χάριτος τοῦ πνεύματος, τὴν πρὸς τὸν Θεὸν τελείαν ἕνωσιν ἀποφαίνεται τελεῖσθαι, κατὰ τοὺς ὁμοήθεις καὶ ἀγαπωμένους ὑπ' ἀλλήλων, καὶ τὴν θεοποιὸν χάριν τοῦ Θεοῦ, ἕξιν τῆς λογικῆς φύσεως διὰ μόνης μιμήσεως προσγινομένην, ἀλλ' οὐκ ἔλλαμψιν ὑπερφυᾶ καὶ ἀπόρρητον καὶ θείαν ἐνέργειαν, ὁρωμένην ἀοράτως τοῖς ἠξιωμένοις καὶ νοουμένην ἀπεριννοήτως, οὗτος ἴστω τῇ τῶν Μασσαλιανῶν, ὡς οὐκ οἶδεν, ἀπάτῃ περιπεσών· φύσει γάρ ἔσται κατὰ πᾶσαν ἀνάγκην Θεὸς ὁ θεούμενος, εἰ κατὰ φυσικὴν δύναμιν ἡ θέωσις ἔσται καὶ τοῖς ὅροις τῆς φύσεως ἐμπεριλαμβάνεσθαι πέφυκε. Μὴ τοίνυν οὗτος τὴν οἰκίαν περιτροπήν, τοῖς ἀσφαλῶς ἑστῶσιν ἐπιχειρείτω προστρίψασθαι καὶ μῶμον τοῖς ἀμωμήτοις τὴν πίστιν ἐπενεγκεῖν, ἀλλὰ τὸ φρόνημα καταθέμενος, μανθανέτω παρὰ τῶν πεπειραμένων ἢ τῶν ἀπ' ἐκείνων δεδιδαγμένων, ὡς ἄσχετός ἐστι παντάπασιν ἡ τῆς θεότητος χάρις, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν· ἐπεὶ οὐκ ἔτι χάρις ἐστίν, ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις· καὶ οὐδὲ παράδοξον ἔσται τὸ γενόμενον, εἰ κατὰ δεκτικὴν δύναμιν θεώσεως ἡ θέωσις εἴη· φύσεως γάρ ἂν εἰκότως ἔργον, ἀλλ' οὐ Θεοῦ δῶρον ἡ θέωσις εἴη· καὶ δυνήσεται καὶ φύσει Θεὸς ὁ τοιοῦτος εἶναι καὶ κυρίως προσαγορεύεσθαι· οὐδὲ γάρ ἄλλο τι καθέστηκεν ἡ κατὰ φύσιν τῶν ὄντων ἑκάστου δύναμις, ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις· πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον ἡ θέωσις; εἰ ἔτι τοῖς ὅροις τῆς φύσεως αὐτὴ

περιείληπται, συνιδεῖν οὐκ ἔχω· ὑπέρ φύσιν τοίνυν καὶ ἀρετὴν καὶ γνῶσιν, ἡ τῆς θεώσεως χάρις, καὶ ἀπείρως τὰ τοιαῦτα ἅπαντα κατὰ τὸν ἅγιον Μάξιμον ταύτης ἀποδεῖ· ἀρετὴ μὲ γάρ πᾶσα καὶ ἡ ἐφ' ἡμῖν τοῦ Θεοῦ μίμησις πρὸς τὴν θείαν ἕνωσιν ἐπιτήδειον ποιεῖται τὸν κεκτημένον· ἡ δὲ χάρις, αὐτὴν τελεσιουργεῖ τὴν ἀπόρρητον ἕνωσιν· δι' αὐτῆς γάρ ὅλος μὲν ὅλοις τοῖς ἀξίοις ὁ Θεὸς περιχωρεῖ· ὅλῳ δὲ ὅλοι περιχωροῦσιν ὁλικῶς οἱ ἅγιοι τῷ Θεῷ· ὅλον ἀντιλαμβάνοντες ἑαυτῶν τὸν Θεόν· καὶ τῆς πρὸς αὐτὸν ἀναβάσεως, οἷον ἔπαθλον αὐτὸν μόνον κτησάμενοι τὸν Θεόν· ψυχῆς πρὸς σῶμα περιφύντα τρόπον, ὡς οἰκείοις μέλεσι καὶ ἐν αὐτῷ εἶναι καταξιώσαντα.

Ὅστις τοὺς ἐν τῇ καρδίᾳ ἢ τῷ ἐγκεφάλῳ λέγοντας τὸν νοῦν ἐνιδρῦσθαι, Μασσαλιανοὺς εἶναι διϊσχυρίζεται, οὗτος ἴστω κακῶς τοῖς ἁγίοις ἐπιτιθέμενος. Ὁ μὲν γάρ Μέγας Ἀθανάσιος τῷ ἐγκεφάλῳ τὸ λογικὸν εἶναι τῆς ψυχῆς φησί. Μακάριος δὲ ὁ τῇ μεγαλειότητι μηδὲν ἐλλείπων, ἐν τῇ καρδίᾳ τὴν τοῦ νοῦ ἐνέργειαν. Συνῳδὰ δὲ τούτοις οἱ ἅγιοι σχεδὸν ἅπαντες. Ὅ γάρ φησίν ὁ Νύσσης θεῖος Γρηγόριος, ὅτι ὁ νοῦς οὔτε ἐντὸς οὔτε ἐκτὸς τοῦ σώματός ἐστιν, ὡς σώματος, οὐκ ἐναντιοῦνται τοῖς ἁγίοις ἐκείνοις. Ἐντὸς γάρ τοῦ σώματος ἐκεῖνοι λέγουσι τὸν νοῦν, ὡς συνημμένον τούτῳ· κατ' ἄλλον τοίνυν τρόπον τοῦτο λέγοντες, ἥκιστα πρὸς ἐκεῖνον διαφέρονται· καὶ γάρ οὐδὲ τῷ λέγοντι μὴ ἐν τόπῳ τὸ θεῖον εἶναι, ἢ ἀσώματον, ἀντίκειται ὁ ἔνδον γενέσθαι ποτὲ τὸν τοῦ Θεοῦ Λόγον λέγων παρθενικῆς καὶ παναμώμου μήτρας, ὡς ἐκεῖ συνημμένον ὑπέρ λόγον τῷ καθ' ἡμᾶς φυράματι, διὰ φιλανθρωπίαν ἄφατον.

Ὅστις τὸ ἐν Θαβωρίῳ τοὺς Μαθητὰς περιαστράψαν φῶς, φάσμα λέγειν καὶ σύμβολον τοιοῦτον, οἷον γίνεσθαι καὶ ἀπογίνεσθαι, ἀλλ' οὐ κυρίως εἶναι καὶ οὐχ ὑπέρ πᾶσαν νόησιν, ἀλλὰ χείρω νοήσεως ἐνέργειαν, σαφῶς ἀντιφθέγγεται ταῖς τῶν ἁγίων δόξαις. Οὗτοι γάρ, κἂν τοῖς ἄσμασι κἂν τοῖς συγγράμμασιν, ἀπόρρητον, ἄκτιστον, ἀΐδιον, ἄχρονον, ἀπρόσιτον, ἄπλετον, ἄπειρον, ἀπεριόριστον, Ἀγγέλοις καὶ ἀνθρώποις ἀθέατον, ἀρχέτυπον κάλλος καὶ ἀναλλοίωτον, δόξαν Θεοῦ, δόξαν Χριστοῦ, δόξαν Πνεύματος, ἀκτῖνα θεότητος, καὶ τὰ τοιαῦτα προσαγορεύουσι. Δοξά-

ζεται μὲν γάρ, φησίν, ἡ σάρξ ἅμα τῇ προσλήψει καὶ δόξα τοῦ σώματος ἡ δόξα τῆς θεότητος γίνεται· ἀλλ' ἀφανὴς ἦν ἡ δόξα ἐν τῷ φαινομένῳ σώματι, τοῖς μὴ χωροῦσι τὰ καὶ Ἀγγέλοις ἀθέατα. Μεταμορφοῦται τοίνυν, οὐχ ὅ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος· ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. Μένων γάρ αὐτὸς ἐν ταυτότητι,, παρ' ὃ τὸ πρὶν ἐφαίνετο, νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος, αὐτὸς γάρ ἔστι τὸ φῶς τὸ ἀληθινὸν, τὸ τῆς δόξης ὡράϊσμα· καὶ ὡς ὁ ἥλιος ἔλλαμψεν· ἀμυδρὰ ἡ εἰκών, ἀλλ' ἀμήχανον ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι.

Ὅστις ἄκτιστον τὴν οὐσίαν μόνην εἶναι λέγει τοῦ Θεοῦ, ἀλλὰ μὴ καὶ τὰς ἀϊδίους ἐνεργείας αὐτοῦ, ὧν καὶ ὑπερέχει πασῶν ὡς τῶν ἐνεργουμένων ἁπάντων τὸ ἐνεργοῦν, τοῦ Ἁγίου ἀκουσάτω Μαξίμου λέγοντος· τὰ ἀθάνατα πάντα καὶ αὐτὴ ἡ ἀθανασία, καὶ τὰ ζῶντα πάντα καὶ αὐτὴ ἡ ζωή, καὶ τὰ ἅγια πάντα καὶ αὐτὴ ἡ ἁγιότης καὶ τὰ ἐνάρετα πάντα καὶ αὐτὴ ἡ ἀρετή, καὶ τὰ ἀγαθὰ πάντα καὶ αὐτὴ ἡ ἀγαθότης, καὶ τὰ ὄντα πάντα καὶ αὐτὴ ἡ ὀντότης, Θεοῦ προδήλως ἔργα τυγχάνουσιν· ἀλλὰ τὰ μὲν τοῦ εἶναι χρονικῶς ἠργμένα, (ἦν γάρ ποτε ὅτε οὐκ ἦν·) τὰ δὲ τοῦ εἶναι χρονικῶς οὐκ ἠργμένα· οὐκ ἦν γάρ ποτε, ὅτε οὐκ ἦν ἀρετὴ καὶ ἀγαθότης καὶ ἁγιότης καὶ ἀθανασία. Καὶ πάλιν· ἡ ἀγαθότης καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ, καὶ ἁπλῶς πᾶσα ζωὴ καὶ ἀθανασία καὶ ἁπλότης καὶ ἀτρεψία καὶ ἀπειρία καὶ ὅσα περὶ τὸν Θεόν οὐσιωδῶς θεωρεῖται, ἔργα Θεοῦ εἰσι καὶ οὐκ ἠργμένα χρονικῶς οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν· οὐδέ τινος ἄλλου τῶν εἰρημένων, κἂν τὰ μετέχοντα αὐτῶν κατ' αὐτὰ ἤρκται τοῦ εἶναι χρονικῶς· ἄναρχος γάρ πᾶσα ἀρετή, μὴ ἔχουσα τὸν χρόνον ἑαυτῆς πρεσβύτερον· οἷα τὸν Θεὸν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα· πάντων δὲ τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξήρηται. Μανθανέτω τοίνυν ἐκ τούτων , ὡς οὐ πάντα τὰ ὑφεστηκότα ἐκ Θεοῦ, καὶ ὑπὸ χρόνον εἰσί· καὶ γάρ ἔστιν ἃ τούτων ἄναρχά ἐστι, καὶ τῷ λόγῳ τῆς μόνης ἀνάρχου φύσει καὶ Τριαδικῆς Μονάδος καὶ τῆς κατ' αὐτὴν ὑπερφυοῦς ἁπλότητος ἥκιστα λυμαίνεται· τὸν αὐτὸν γάρ τρόπον καὶ ὁ νοῦς κατ' ἀμυδρὰν εἰκόνα τῆς ὑπερβαλλούσης ἐκεί-

νης ἀμερείας, οὐδαμῶς διὰ τὰς ἐμφύτους ἑαυτοῦ νοήσεις, σύνθετός ἐστιν.

Ὅστις τὰς ἐνσημαινομένας τῷ σώματι πνευματικὰς διαθέσεις, ἀπὸ τῶν ἐν τῇ ψυχῇ τῶν κατὰ Θεὸν προκοπτόντων χαρισμάτων τοῦ Πνεύματος,, οὐ παραδέχεται καὶ τὴν τοῦ παθητικοῦ καθ' ἕξιν νέκρωσιν ἀπάθειαν φησίν, ἀλλὰ μὴ τὴν ἐπὶ κρείττω καθ' ἕξιν ἐνέργειαν, ὁλικῶς ἀπεστραμμένου τὰ πονηρὰ καὶ ἐπεστραμμένου πρὸς τὰ καλά, ὡς τὰς πονηρὰς ἕξεις ἀποκτησαμένου καὶ ταῖς ἀγαθαῖς πλουτήσαντος, οὗτος ἀκολούθως τῇ τοιαύτῃ δόξῃ καὶ τὴν ἐν τῷ ἀφθάρτῳ τῶν ὄντων αἰώνι μετὰ σώματος ἀπαναίνεται διαγωγήν· εἰ γὰρ συμμεθέξει τότε τῇ ψυχῇ τὸ σῶμα τῶν ἀπορρήτων ἀγαθῶν, καὶ νῦν δήπου συμμεθέξει κατὰ τὸ ἐγχωροῦν, τῆς χορηγουμένης μυστικῶς καὶ ἀπορρήτως ὑπὸ τοῦ Θεοῦ τῷ κεκαθαρμένῳ νῷ, καὶ αὐτὸ τὰ θεῖα πείσεται καταλλήλως ἑαυτῷ, μετασκευασθέντος καὶ ἁγιασθέντος, ἀλλ' οὐ καθ' ἕξιν νεκρωθέντος τοῦ τῆς ψυχῆς παθητικοῦ, καὶ δι' ἑαυτοῦ, κοινοῦ σώματός τε καὶ ψυχῆς ὑπάρχοντος, τὰς τοῦ σώματος ἁγιάζοντος διαθέσεις τε καὶ ἐνεργείας. Ἐπεὶ γάρ τῶν ἀπηλλαγμένων τῶν τοῦ βίου καλῶν διὰ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, κατὰ τὸν Ἅγιον Διάδοχον, ὁ νοῦς εὐρώστως διὰ τὴν ἀμεριμνίαν κινούμενος, τῆς θείας ἀρρήτου χρηστότητος αὐτὸς ἀπαισθάνεται καὶ τῷ σώματι κατὰ τὸ μέτρον τῆς ἑαυτοῦ προκοπῆς τῆς οἰκείας χρηστότητος μεταδίδωσιν. Ἡ δὲ τοιαύτη ἐγγινομένη χαρὰ τότε τῇ ψυχῇ καὶ τῷ σώματι, ὑπόμνησίς ἐστιν ἀπλανὴς τῆς ἀφθάρτου βιότητος.

Ἄλλου μὲν φωτὸς ὁ νοῦς, ἑτέρου δὲ ἡ αἴσθησις ἀντιλαμβάνεσθαι πέφυκεν. Ἡ μὲν γάρ αἰσθητοῦ καὶ τὰ αἰσθητὰ ἢ αἰσθητὰ δεικνῦντος· τοῦδε νοῦ φῶς ἐστιν, ἡ ἐν νοήμασι κειμένη γνῶσις· οὐ τοῦ αὐτοῦ τοίνυν φωτὸς, ὄψις τε καὶ νοῦς ἀντιλαμβάνεσθαι πεφύκασιν· ἀλλὰ μέχρις ἂν κατ' οἰκείαν φύσιν, καὶ ἐν τοῖς κατὰ φύσιν ἐνεργῇ ἑκάτερον αὐτῶν· ὅταν δὲ πνευματικῆς καὶ ὑπερφυοῦς εὐμοιρήσωσι χάριτός τε καὶ δυνάμεως, αἰσθήσει τε καὶ νῷ, τὰ ὑπὲρ πᾶσαν αἴσθησιν καὶ πάντα νοῦν οἱ καταξιωμένοι βλέπουσιν· ἵνα κατὰ τὸν θεολόγον εἴπωμεν μέγαν Γρηγόριον, ὡς οἶδε μόνος ὁ Θεὸς, καὶ οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. Ταῦτα ὑπὸ τῶν Γραφῶν ἐδιδάχθημεν· ταῦτα παρὰ τῶν ἡμετέρων Πατέρων παρελάβομεν· ταῦτα διὰ τῆς μικρᾶς ἔγνωμεν πείρας· ταῦτα κατὰ τὸν ἐν Ἱερομο-

νάχοις τιμιώτατον καὶ ἀδελφὸν ἡμέτερον Κύρ Γρηγόριον, ὑπέρ τῶν ἱερῶς ἡσυχαζόντων συγγραψάμενον, ὡς ταῖς τῶν Ἁγίων ἀκριβῶς ἑπόμενα παραδόσεσι, πρὸς πληροφορίαν τῶν ἐντυγχανόντων ὑπεγράψαμεν.

Ὁ πρῶτος τῶν ἐν τῷ Ἁγίῳ Ὄρει σεβασμίων Μονῶν, Ἱερομόναχος Ἰσαάκ.

Ὁ καθηγούμενος τῆς σεβασμίας βασιλικῆς καὶ ἱερᾶς Λαύρας, Θεοδόσιος Ἱερομόναχος.

Εἶχε δὲ καὶ τὴν ὑπογραφὴν τοῦ τῆς Μονῆς τῶν Ἰβήρων Ἡγουμένου τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ καθηγούμενος τῆς τοῦ Βατοπεδίου σεβασμίας καὶ βασιλικῆς μονῆς, Ἱερομόναχος Ἰωαννίκιος.

Εἶχε δὲ καὶ τὴν ὑπογραφὴν τοῦ τῆς Μονῆς τῶν Σέρβων Ἡγουμένου τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ ἐλάχιστος Ἱερομόναχος Φιλόθεος τὰ αὐτὰ φρονῶν, ὑπέγραψα.

Ὁ ἐν Ἱερομονάχοις ἐλάχιστος καὶ Πνευματικὸς τῆς σεβασμίας Μονῆς τοῦ Ἐσφιγμένου, Ἀμφιλόχιος.

Ὁ ἐν Ἱερομονάχοις ἐλάχιστος καὶ Πνευματικὸς τοῦ Βατοπεδίου, Θεοδόσιος.

Ὁ καθηγούμενος τῆς τοῦ Κουτλουμούση ἱερᾶς Μονῆς, Θεοστήρικτος Ἱερομόναχος.

Γερόντιος ἁμαρτωλὸς ὁ Μαρούλης ἐν τοῖς γέρουσι τελῶν τῆς σεβασμίας Λαύρας, τ' αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Κάλλιστος ὁ Μουζάλων.

Ὁ ἐν Ἱερομονάχοις εὐτελὴς Γεράσιμος, ἰδὼν καὶ ἀναγνοὺς τὰ φιλαλήθως γραφέντα καὶ ἀποδεξάμενος, ὑπέγραψα.

Ὁ εὐτελὴς Γέρων καὶ ἐν Μοναχοῖς ἐλάχιστος Μωυσῆς, τὰ αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐλάχιστος καὶ εὐτελὴς ἐν Μοναχοῖς Γρηγόριος ὁ Στραβολαγκαδίτης, τάχα καὶ ἡσυχαστής, νοῶν καὶ φρονῶν ταῦτα ὑπέγραψα.

Ὁ ἀπὸ τῆς σκήτεως τοῦ Μαγουλᾶ Γέρων καὶ ἐν Ἱερομονάχοις ἐλάχιστος Ἡσαΐας, τ' αὐτὰ φρονῶν ὑπέγραψα.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Μάρκος ὁ τοῦ Σιναΐτου.

Ὁ ἐν τῇ τοῦ Μαγουλᾶ σκήτει καὶ ἐν Ἱερομονάχοις ἐλάχιστος Κάλλιστος.

Εἶχε καὶ τὴν ὑπογραφὴν τοῦ ἀπὸ Σύρων Γέροντος ἡσυχαστοῦ τῇ ἰδίᾳ διαλέκτῳ.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Σωφρόνιος.

Ὁ ἐν Μοναχοῖς ἐλάχιστος Ἰωάσαφ.

Ὁ ταπεινὸς ἐπίσκοπος Ἱερισσοῦ καὶ Ἁγίου Ὄρους Ἰάκωβος, ταῖς ἁγιορειτικαῖς καὶ πατρικαῖς ἐντεθραμμένος παραδόσεσι, καὶ μαρτυρῶν, ὅτι διὰ τῶν ἐνταῦθα ὑπογραψάντων λογάδων, ἅπαν τὸ Ἅγιον Ὄρος συμφωνοῦντες ὑπέγραψαν, καὶ αὐτὸς συμφωνῶν καὶ ἐπισφραγίζων, ὑπέγραψα. Καὶ τοῦτο μετὰ πάντων προσγράφων· ὅτι τὸν μὴ συμφωνοῦντα τοῖς ἁγίοις καθὼς καὶ ἡμεῖς καὶ οἱ μικρῷ πρὸ ἡμῶν Πατέρες ἡμῶν, ἡμεῖς τὴν αὐτοῦ κοινωνίαν οὐ παραδεξόμεθα.

Φιλοκαλία, τόμ. Δ΄, σ. 188 - 193, Ἀθῆναι 1961.



Ἡσυχαστὴς Κάλλιστος Ἀγγελικούδης κατὰ Θωμᾶ Ἀκινάτου.

12

«... Αἰσχύνομαι ἐπὶ Θεῷ μάρτυρι τὰς ἀποφάσεις τοῦ τυφλοῦ φιλοσόφου τούτου κατανοῶν· οἰκείᾳ γάρ συναφῇ Θεοῦ πρὸς ἄνθρωπον ἡ θεία ἔλλαμψις ἐν καρδίᾳ ἐστὶ τοῦ ἁγίου Πνεύματος,, ἄρρητος ἐνέργεια ἐν ψυχῇ, ἥτις ἀληθῶς καὶ οἰκείως ἑνοῖ τὴν ψυχὴν τῷ Θεῷ. Ὁ δὲ Θωμᾶς ὀνειρώττοντι ἔοικε τὴν ἄρρητον ἐκείνην καὶ ὑπερφυᾶ τῆς ψυχῆς συναφὴν πρὸς Θεὸν οἰόμενος γίνεσθαι, «ὅταν τι περὶ τῆς θείας οὐσίας γινώσκῃ τι». «ὅταν τι» λέγει ἁπλῶς, τὸ δὲ «τί» οὐκ ἀποκαλύπτει.

350. Βαθὺς γάρ ἐστιν, ἀλλ' εἰς τὸ ψευδηγορεῖν, καὶ ὀλισθαίνων ἐν τούτῳ ἐπὶ πλέον ἁμαρτάνει, λέγων· «καθόσον τῆς οὐσίας αὐτοῦ ἅπτεται κατά τινα τρόπον». Πάλιν κατά τινα λέγει καὶ οὐ σαφηνίζει τὸν τρόπον, οὐδὲ γάρ ἔχει καὶ ὁπωσοῦν εἰπεῖν οὐδ' ὁντινοῦν τρόπον, καθ' ὃν τις τῆς θείας οὐσίας ἅψαιτο τῆς πάντῃ ἀναφοῦς, περὶ ἧς ὁ Μέγας λέγει Βασίλειος· «αἱ μὲν ἐνέργειαι τοῦ Θεοῦ εἰς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος»· περὶ ἧς οἱ θεόσοφοι πατέρες ἀπειράκις ἀπείρως ὑπερηξηρημένην εἶναί φασιν, οὔτε θέσιν ἐχούσης οὔτε ἀφαίρεσιν οὔτε φαντασίαν ἢ δόξαν ἢ λόγον ἢ νόησιν, ὡς ὁ μέγας λέγει Διονύσιος· «οὐδέ οὐσία ἐστίν ὡς ὑπερούσιος, οὐδὲ ἐπαφὴ ἐστιν αὐτῆς νοητὴ οὔτε ἐπιστήμη, οὐδὲ ἄλλο τι τῶν ἡμῖν ἢ ἄλλῳ τινὶ τῶν ὄντων συνεγνωσμένων, οὐδὲ αὐτῆς ἐστι καθόλου θέσις οὐδὲ ἀφαίρεσις, ἀλλά τῶν μετ' αὐτὴν τὰς θέσεις καὶ ἀφαιρέσεις ποιοῦντες, αὐτὴν οὐ-

* Βλέπε σχετικῶς κεφ. Η' τοῦ Α' Μέρους.

ραῖς, αἵτινές εἰσι σοφία, ἐπιστήμη, νοῦς, ὡς δείκνυσιν ἐν τῷ Ζῷ τῶν Ἠθικῶν. «Ὅθεν καὶ ἐν τῷ 10ῳ τῶν Ἠθικῶν τὸν σοφὸν εὐδαίμονα εἶναι ὁρίζεται». Εὖγέ σοι τοῦ τοιούτου διδασκάλου καὶ τῆς καλῆς διακρίσεως, μεθ' ὧν εἰς τὴν ἱερὰν εἰσῆλθε Θεολογίαν, κατὰ Ἑλλήνων, ὡς λέγεις ἱστάμενος. Ἀπαιγαισχύνθηκας, πόρνης γέγονέ σοι τὸ πρόσωπον, περηφανὴς ἀντάρτης τῆς Ἐκκλησίας τῆς τοῦ Χριστοῦ καὶ τῶν Ἑλλήνων συνασπιστής.

359. «Ἕλληνες» γάρ φησιν ὁ ἱερὸς Παῦλος «σοφίαν ζητοῦσιν», ἤ τινι σύ, κατὰ τὸ φανερὸν καὶ Ἀριστοτέλει ἀκολουθῶν, τὴν ἐσχάτην τοῦ ἀνθρώπου εὐδαιμονίαν παρέχεις· καὶ αὐτὴν τὴν σοφίαν, καὶ ταῦτα τὴν ἔξω, ἐσχάτην εὐδαιμονίαν λογίζῃ· καὶ τὸν κατ' αὐτὴν τὴν σοφίαν σοφὸν εὐδαίμονα εἶναι ὁρίζῃ· ὁ δὲ λογισμὸς ὅτι τῷ Ἀριστοτέλει οὕτω δοκεῖ. Ἀπωσμένε τῆς ἱερᾶς ἀληθείας, ὅ μὴ τοῖς ἁγίοις δοκεῖ, δοκεῖ δὲ τῷ Ἀριστοτέλει, πιστεύεις καὶ παρρησίᾳ γράφεις χωρὶς ἐρυθήματος. Ἐπελάθου τοῦ μεγάλου Διονυσίου λέγοντος· ἑκάστης ἱεραρχίας σκοπὸς «ἡ πρὸς Θεὸν, ὡς ἐφικτὸν, ἀφομοίωσίς τε καὶ ἕνωσις». Καὶ πάλιν· «ἑκάστης ἱεραρχίας τὸ πέρας ἡ πρὸς τὸν Θεὸν καὶ τὰ θεῖα καὶ προσεχὴς ἀγάπησις», ἐν Ἁγίῳ Πνεύματι δηλονότι. «Ἡ γάρ ἱερά - φησίν ἐν ἑτέρῳ - τῆς θεογενεσίας τελείωσις ἐνοῖ τὰ τελεσθέντα τῷ θεαρχικῷ πνεύματι». Καὶ συνεπάγει· «τὴν δὲ νοητῶς εὐοδοποιὸν καὶ τελεσιουργὸν ἐπιφοίτησιν, ἀρρητοτάτην οὖσαν, ἐπιγνῶναι παρίημι νοερῶς τοῖς ἠξιωμένοις τῆς κατὰ νοῦν τοῦ θείου Πνεύματος ἱερᾶς καὶ θεουργοῦ κοινωνίας».

360. Ὁρᾷς τὴν ἐσχάτην εὐδαιμονίαν καὶ τὸ ἔσχατον τέλος τὸν κατὰ Θεὸν ζώντων, ἣν κηρύττουσαν οἱ θεόσοφοι; Πῶς οὖν σύ, παρεὶς ταῦτα τὰ τοῦ Θεοῦ καὶ τῆς κατ' αὐτὸν ἀληθείας, Ἕλληνι προστρέχεις μωρῷ, οὗ τὴν σοφίαν κατ' ἐπαγγελίαν ἐμώρανεν ὁ Θεὸς καὶ ἀπώλεσε, καὶ τὰς ματαιολογίας αὐτοῦ μαρτυρίας ἐν τοῖς θεολογικοῖς σου παραλαμβάνεις; Καλόν σοι μᾶλλον ἦν μὴ γεννηθῆναι, ἢ τοιαύτας κακοδοξίας καὶ τοιαῦτα ἑλληνικὰ φρονήματα παρεισάγειν πειρᾶσθαι ἐν Ἐκκλησίᾳ ζῶντος Θεοῦ.

361. «Ἡ εὐδαιμονία κοινὸν τί ἐστιν ἀγαθόν, ἐφ' ὃ πλείονας ἐφικνεῖσθαι δυνατὸν, εἰ μὴ τύχοιεν ὄντες ἀνεπιτήδειοι, ὡς Ἀριστοτέλης φησίν ἐν τῷ Αφ τῶν Ἠθικῶν». Ὁ μὲν Ἀριστοτέλης, τῆς μεμωραμένης σοφίας ὤν, οὐ θαυμαστόν, εἰ καὶ μωρὰ φθέγγοιτο· θαυμαστὸν δὲ εἰς σέ, μᾶλλον δὲ καὶ ἐλεεινόν, ἐπὶ τῷ τοῦ Χριστοῦ Εὐαγγελίῳ φιλοτιμούμενον καὶ χριστιανὸν ἐθέλοντα εἶναι καὶ τὰς ἱερὰς Γραφὰς καὶ τοὺς κατ' αὐτὰς ἱεροδιδασκάλους ἀνεγνωκότα, ἔπειθ' οὕτως, ὥσπερ ἑκὼν εἶναι, τὴν ἱερὰν εὐθύτητα καταλιπόντα, ἀκολουθῆσαι Ἕλληνι ἀνδρὶ εἰς τὰ τῆς πίστεως λίαν κατεγνωσμένῳ, τῷ κακῶς ὀλλυμένῳ Ἀριστοτέλει. Διὰ τοῦτο ψευδόμενος (ὡς) ἐκεῖνος, εἰς τὰ θεῖα καὶ βλασφημῶν καὶ τῇ ἀπωσμένῃ σοφίᾳ θαρρῶν καὶ κρατύνειν σπεύδων τὰ ἐκείνης ληρήματα, ἐξ ἀνάγκης τούτῳ συγκατασπᾶσαι καὶ σύ, κακῶς ἀπωσμένος ἀπὸ τοῦ Θεοῦ καὶ τῆς κατ' αὐτὸν ἀληθείας».

Καλλίστου Ἀγγελικούδη «κατὰ Θωμᾶ Ἀκινάτου» (Εἰσαγωγή, κείμενον κριτικὸν ὑπόμνημα καὶ πίνακες ὑπὸ Στυλ. Γ. Παπαδοπούλου), Ἀθῆναι 1970, σ. 170 - 175.

Ἀντιλατινικὰ κείμενα τοῦ ὁσιωτάτου ἐν Μοναχοῖς Γεννα δίου Σχολαρίου τοῦ καὶ πατριάρχου γενομένου Κων)λεως, ἀναιροῦντα ἁπάσας τὰς ὑποσχέσεις καὶ ἐπαγγελίας τῶν Λατινοφρόνων περὶ δῆθεν βοηθείας ἐκ μέρους τοῦ πάπα ἅμα τῇ μετ' αὐτοῦ ἑνώσει κλπ.(*).

13

Α' Μετὰ πολλά, ἐλάλησα καὶ διεμαρτυράμην ἀγράφως καὶ ἐγγράφως τῷ βασιλεῖ, τῇ συγκλήτῳ, καὶ τῇ πολιτείᾳ καὶ τοῖς ἐκκλησιαστικοῖς καὶ ἰδίᾳ, καὶ συνηγμένοις, καὶ συνεβούλευσα πρὸς ἱλέωσιν τοῦ Θεοῦ πρὸ τοῦ ἐλθεῖν τὸν καρδινάλιον, προβλεπόμενος τὴν φθορὰν τῆς πίστεως καὶ τὴν τοῦ Θεοῦ παιδείαν δι' αὐτήν· καὶ μάλιστα ὅτε ἐπῆγα εἰς τὸ μοναστήριον τοῦ Παντοκράτορος, διὰ τοῦτο καὶ ἀνέγνων τὴν ἱερὰν ἐκείνην συμβουλήν· καὶ αὖθις, μετὰ πολλά, ἃ εἶπον καὶ ἔγραψα μετὰ τὸ ἐλθεῖν τὸν καρδινάλιον, οἶδε γάρ ὁ Κύριος καὶ πάντες γινώσκουσιν, ὅτι οὐδὲν ἠμέλησα, - τῇ πρώτῃ Νοεμβρίου προσήλωσα τοῦτο τὸ γραμμάτιον τῇ θύρᾳ τοῦ κελλίου μου, καὶ ἀνεγίνωσκον αὐτὸ πάντες οἱ εἰσερχόμενοι, μέχρι καὶ τῆς δωδεκάτης Δεκεμβρίου, ὅτε ἐτελειώθη ὁ δυστυχέστατος λατινισμός.

Τὸ προσηλωθὲν τῇ θύρᾳ τοῦ δωματίου μου, τῇ α' Νοεμβρίου

† Ὦ πτωχοὶ πολῖται, ὅλα ἐχάσατε· καὶ νῦν παραιτεῖσθε καὶ τὴν εὐσέβειαν; Αἰσχρῶς καὶ ἀσυνειδήτως, ἀντὶ τοῦ νὰ καταφύγητε εἰς τὸν Θεὸν ἐν τῇ περιστάσει καθὼς ὑμῖν ὁ Θεὸς δι' ἐμοῦ

* Βλέπε σχετικῶς κεφ. Θ' τοῦ Α' Μέρους.

τοῦ ἀναξίου Γενναδίου συνεβούλευσεν, χωρίζεσθε τοῦ Θεοῦ; Ἐγὼ ἀθῷος· ἔχω τὸν Θεὸν μάρτυρα, καὶ τοὺς ἁγίους καὶ ὑμᾶς πάντας, ὅτι οὐδὲ τίποτε ἠμέλησα. Καὶ νῦν, μαρτύρομαι τὸν Θεὸν κακὴν ἕνωσιν ποιεῖτε· ἀπόλλυσθε. Βλασφημεῖτε κατ' ἐμοῦ καὶ ἀπειλεῖτε; Ἀλλὰ καὶ ἂν φονεύσητέ μοι, ὡς ἀπειλεῖτε, ἐγὼ καὶ εἰς θάνατον ἕτοιμος. Τί μοι ὄφελος τοῦ ζῆν, ἵνα ἴδω τὴν καθ' ὑμῶν ἐγκατάλειψιν; Κύριε, μὴ ἀφῇς τοὺς ἀνθρώπους τούτους τὸ πτῶμα τοῦτο πεσεῖν· μὴ δικαιωθήτω ἡ ὀρθόδοξος πίστις, καὶ ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, καὶ ἐν ταῖς νήσοις, ἐκ τῆς ἡμετέρας ἀπωλείας· διότι ἡμεῖς ἀθετήσαντες αὐτὴν καὶ σὲ ἀπολούμεθα· δικαίωσον μᾶλλον αὐτήν, χωρὶς τοῦ ἀπολέσθαι ἡμᾶς· δὸς αὐτοῖς ἀκοάς, ἵνα ἀκούσωσιν· ἐπειδή ἐστιν ὁ λαλήσας καὶ λαλῶν τὸ σὸν θέλημα. Εἰ δὲ μή, Κύριε ἅρπασόν με ἀπὸ τῆς παρούσης ζωῆς συντόμως, πρὶν ἴδω τρυγῶντας τοὺς καρποὺς τῆς τοσαύτης ἀναισχυντίας. Οὐκ ἀρνήσομαί σε, φίλη Ὀρθοδοξία· οὐ ψεύσομαί σε, πατροπαράδοτον σέβας, ἕως ἂν τὸ ἐμὸν πνεῦμα ἐν τῷδε μένῃ τῷ σώματι. Μηδὲν με πειράζετε πλέον, ἄνθρωποι· ὅτι ἐγὼ τοιαύτης ἑνώσεως οὐ κοινωνήσω ποτέ· οὔτε γάρ μετὰ τῶν Λατίνων ἑνωθήσεσθε οὕτως, καὶ τοῦ Θεοῦ χωρισθήσεσθε καὶ τῆς αὐτοῦ ἐπισκέψεως, καὶ ἀδοξίαν ἀΐδιον ὑποστήσεσθε:

* * *

Τοῦτο ἐστάλη τοῖς ἐκκλησιαστικοῖς, τῷ μεγάλῳ ἐκκλησιάρχῃ τῷ Σιλβέστρῳ καὶ τῷ μεγάλῳ χαρτοφύλακι τῷ Ἀγγαλιανῷ, τῇ ἡμέρᾳ ἡ ἐμηνύθησαν οἱ ἐκκλησιαστικοὶ εἰς τοῦ Ξυλαλᾶ τὸ παλάτιον· καὶ ἦν αὕτη ἡ πρώτη φορὰ μετὰ τὸ συσκευασθῆναι πάντα ἰδίως διὰ τοῦ καρδιναλίου καὶ τῶν τριῶν ἀρχιερέων τοῦ ἐνιαυτοῦ τούτου: — (Τῇ ιε' τοῦ Νεομβρίου 1452).

† Ἅγιοι πατέρες, ἐγὼ ἤθελον ἐλθεῖν, ὥσπερ καὶ ἀεὶ ποιῶ, ἀλλὰ οὐδὲν οἶδα καλῶς τί ἐστὶ τὸ βουλόμεναον τῆς συνάξεως ταύτης. Ἀφ' οὗ γοῦν μάθετε ὑμεῖς τίνος ἕνεκα σᾶς προκαλοῦνται, εἰ μὲν ἔνι καὶ ὁ καρδινάλιος αὐτοῦ καὶ θέλει νὰ εἰπῇ τίποτε, ἢ ἔνι ἡ παροῦσα βουλὴ περὶ τοῦ νὰ ἔλθῃ ἄλλοτε καὶ νὰ εἰπῇ ἐνώπιον πάντων καὶ ἡμῶν, καὶ νὰ ἀπολογηθῆτε αὐτῷ ἐκκλησιαστικῶς, ἃς ἔλθωσιν τινὲς ὑφ' ὑμῶν μετὰ ἀλόγου περισσοῦ, ὁρισμῷ

βασιλικῷ, καὶ θέλω ἐλθεῖν. Καὶ ὑμεῖς μηδὲν καταπιασθῆτε νὰ ἀκούσητε τίποτε ἢ νὰ εἴπητε, ἄνευ ἐμοῦ. Τὸ ἐμόν ἤδη ὑμῖν δίδωμι. Εἰ δὲ ἔνι ἡ σύναξις αὕτη, ὅτι ἀφ' οὗ ἐγένετο διὰ τοῦ δήμου ἡ ἕνωσις φεῦ, ὅτι διαίρεσίς ἐστι τοῦ Θεοῦ, τότε θέλουσι καὶ τῶν ἐκκλησιαστικῶν τὴν συγκατάθεσιν, ἄφετέ με ἀπείραστον, διότι τὴν ἐμὴν περὶ τούτου γνώμην μυριάκις ἔγνω καὶ ὁ αὐθέντης ἡμῶν ὁ αὐτοκράτωρ καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ ἡμεῖς πάντες, καὶ ἀκόμη πρὸ ὀλίγων ἡμερῶν ἔπεμψα αὐτῷ μετὰ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Ἰγνατίου κεφάλαια δώδεκα περὶ ταύτης τῆς ὑποθέσεως, ἃ καὶ ὑμεῖς εἴδητε. Ἐγὼ ἄλλο παρ' ὃ λέγω ἀεὶ οὐκ ἐρῶ ποτέ.

Ἐπειδὴ γάρ τὴν ἐν Φλωρεντίᾳ σύνοδον ἐκείνην ἔχω οἵαν καὶ ὁ Θεὸς ἔχει καὶ ἡ ἀλήθεια καὶ οἱ χριστιανοὶ πάντες οἱ γνήσιοι τῆς ἀνατολικῆς ἐκκλησίας υἱοί, ἀκολουθῶν τῇ γνώμῃ τῶν ἁγίων πατέρων καὶ τῇ συνειδήσει ταπεινῶς, καὶ ἵνα σαφέστερον εἴπω, ἔχω τοιαύτην τὴν σύνοδον ἐκείνην, οἵα καὶ ἐπὶ Κωνσταντίου ψευδοοικουμενικὴ ἦν, ἡ ἀνελοῦσα, ὡς ὤετο, τὸ ὁμοούσιον, ἐπειδὴ τοιαύτης εἰμὶ γνώμης· ὅστις μνημονεύοι τὸν πάπαν, ἢ κοινωνήσοι τῷ μνημονεύοντι, ἢ συμβουλεύσοι ἢ παραινέσοι, ἡγήσομαι καὶ τοῦτον οἷον ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ ἐν Κων)λει, ἢ τὸ λατινικὸν ἐξετάσασα δόγμα, καὶ τοὺς αὐτὸ φρονήσαντας καθελοῦσα τότε, τὸν Βέκκον δηλονότι καὶ τοὺς ὁμόφρονας. Οὐδὲ νομίζω ἐγὼ μικρόν τι τὸ τοῦ πάπα ἢ τινος ἐπισκόπου μνημόσυνον, ***ἀλλὰ ἡ πευματικὴ τῶν ὁμοδόξων κοινωνία καὶ ἡ τελεία ὑποταγὴ πρὸς τοὺς γνησίους ποιμένας, ἢ διὰ τοῦ μνημοσύνου ἐστίν·*** αἱ δὲ σύνοδοι καὶ οἱ ἄλλοι διορίζονται, ὅτι ὧν τὸ φρόνημα ἀποστρεφόμεθα, τούτων καὶ ἀπὸ τῆς κοινωνίας χρὴ φεύγειν καὶ τὰ ἄλλα ὅμοια, ὅσα γινώσκετε ὅτι διορίζονται. Ὑπὲρ πάντα δὲ ὁ Κύριος ἡμῶν· «Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσι», φησίν, «ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν». Μήτε γένοιτο μοι, ἵνα ποιήσω τὴν ἐκκλησίαν μου τὴν ἁγίαν μητέρα τῶν ὀρθοδόξων α ἱ ρ ε τ ι κ ή ν, δεχόμενος τὸ τοῦ πάπα μνημόσυνον, ἕως ἂν ὁ πάπας ἐκεῖνα ὁμολογῇ καὶ πιστεύῃ, δι' ἅτινα ἐκ τῆς ἡμετέρας ἐκκλησίας οὐ προσεδέχοντο. Εἴ τ ι ς γ ά ρ ὁ μ ο λ ο γ ή σ ε ι ἐ κ ε ῖ ν ο ν νῦν

ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας, ὁμολογεῖ τοὺς ἑαυτοῦ προγόνους εἶναι αἱρετικούς. Ἡ γνώμη μου τοίνυν τοιαύτη καὶ ἦν ἀεὶ καὶ ἔσται· καὶ ἔσομαι ἀεὶ πρὸς τὸν πάπαν καὶ τοὺς κοινωνοῦντας αὐτῷ ὁπωσοῦν ἀκοινώνητος, ὡς καὶ οἱ πατέρες ἡμῶν, ὧν τὴν εὐσέβειαν κἂν πρέπον ἐστὶ μιμεῖσθαι ἡμᾶς ἐπειδὴ τὴν ἁγιωσύνην αὐτῶν καὶ τὴν σοφίαν οὐκ ἔχομεν.

Τοὺς δὲ προσδιορισμοὺς καὶ τὰς διωρίας, ἃς ἀκούω ὅτι ὑποψιθυρίζουσιν οἱ τοῦ λατινισμοῦ πατέρες κρυφίως, τὸν χυδαῖον λαὸν ὑποκλέπτοντες καὶ τὸν λατινισμὸν συγκαλύπτοντες, ταῦτα ἡγοῦμαι πόρρω τῆς ἐκκλησιαστικῆς καὶ χριστιανικῆς διαθέσεως, καὶ εἰσι κατὰ τοῦ Θεοῦ καὶ τοῦ ὀρθοῦ λόγου. Πῶς γάρ ἤκουσέ τις πίστιν καὶ ἕνωσιν ἐκκλησιασιτκὴν προσδιωρισμένην; Εἰ γάρ καλὴ ἡ τοιαύτη ἕνωσις διὰ τί μὴ ἀεὶ ἔσται, ἀλλὰ ὑπὸ διωρία; καὶ εἰ κακή, διὰ τί καὶ μίαν ὅλως ἡμέραν; Καὶ τὶς προσδιορισμὸς ἄλλος δύναται εἶναι τῆς τῶν ὀρθῶς πιστευόντων καὶ φρονούντων ἑνώσεως, εἰ μὴ τὸ τὰ αὐτὰ φρονεῖν καὶ κηρύττειν τοὺς ἑνουμένους; Μόλις εἰ ἐγινέτό τις τοιοῦτος διορισμὸς, ὅτι καὶ ὁ πάπας νὰ ἀργήσῃ τὸ καὶ ἐκ τοῦ Υἱοῦ, ἐκ τοῦ συμβόλου, ὥσπερ καὶ ἡμεῖς τὸ ἐκ μόνου τοῦ Πατρὸς καὶ τὸ οὐκ ἐκ τοῦ Υἱοῦ, καίτοι γε ἐστὶ δόγμα τῆς ἀνατολικῆς Ἐκκλησίας ἀρχαῖον, ὡς καὶ οἱ διδάσκαλοι τῶν Λατίνων αὐτοὶ μαρτυροῦσιν, ὅμως οὐ λέγομεν τοῦτο ἐν τῷ συμβόλῳ· καὶ ταῦτα μὲν τὰ ἀντικείμενα νὰ ἐζητοῦντο, τὸ δέ σύμβολον νὰ ἐλέγετο καὶ ἡμῖν καὶ τῷ πάπα ὡς ἐξ ἀρχῆς· οὗτος ὁ προσδιορισμὸς καὶ ἡ τοιαύτη διωρία εἶχεν ἂν λόγον ἃ δὲ αὐτοὶ λέγουσιν, οὐκ ἐστι διωρία ἐκκλησιαστική, ἤγουν πρόσκαιρος ἀναβολὴ τῆς ζητήσεως, ἀλλὰ πρόσκαιρος συγκατάθεσις ὑμῶν τῇ προσθήκῃ καὶ τῇ ταύτην κακῶς κυρωσάσῃ Φλωρεντιακῇ ἑνώσει, καὶ λατινισμὸς πρόσκαιρος, εἰ ἄρα καὶ πρόσκαιρος ἔσται καὶ μὴ ἀΐδιος, ὅσον τὸ ἀπὸ τὸ πραττόντων. Ἢ οὐχὶ ταῦτα καὶ εἰς τὸν καιρὸν τοῦ προτέρου βασιλέως ἐκινήθησαν παρά τινων ἰδιωτῶν διεφθαρμένων, καὶ ἡμεῖς ἀπεδείξαμεν αὐτὰ ἄλογα ὄντα καὶ ἀσυνείδητα καὶ πᾶσιν ἀνθρώποις μεμπτὰ καὶ ὁμοδόξοις καὶ ἑτεροδόξοις; Χρὴ γάρ μᾶλλον ἢ ἑνοῦσθαι τοῖς Λατίνοις, ἢ μὴ ἑνοῦσθαι, καὶ τότε τὰ ἄλλα ἕπεσθαι ἑκατέρωθεν, ὅσα τῷ ἡνῶσθαι καὶ τῷ κεχωρίσθαι ἀκολουθεῖ.

Τοιαύτης οὔσης τῆς ἐμῆς γνώμης, ὡς ἀεὶ γινώσκετε καὶ ὑμεῖς καὶ πάντες, καὶ ἐσομένης ἀεί, ὁ βουλόμενος κοινωνεῖν ἐμοί, κοινωνείτω ταύτης· ὁ μὴ βουλόμενος ποιείτω ὅ βούλεται· αὐτὸς ὄψεται.

Περὶ δὲ τοῦ συμφέροντος τῇ πόλει λέγω, ὅτι ἡ σωτηρία τῆς πόλεως ἐκεῖνά ἐστιν ἃ ἐλάλησα ἐν τῷ μοναστηρίῳ τοῦ Παντοκράτορος, εἰ ἐγίνοντο· καὶ ἔτι εἰ γενήσονται, καὶ οὐδὲν ἕτερον. Ἀλλ' οὐ γενήσονται, καὶ ἤδειν ὅτι οὐ γενήσονται. Ἀλλὰ δεῖ τὸν Θεὸν καὶ ἐμέ τὸν ἀνάξιον αὐτοῦ δοῦλον εἶναι ἀναίτιον. Ἔτι ἐμήνυσα τῷ μεγάλῳ δουκί, μᾶλλον δὲ ἔγραψα ἐν πλάτει, ὡς οἶδεν ὁ τιμιώτατος μέγας ἐκκλησιάρχης καὶ ὁ τιμιώτατος δικαιοφύλαξ, νὰ ἀναφέρῃ τῷ βασιλεῖ, ὅτι ἃ βούλονται ποιεῖν ἔχουσαν ἅπαν κακὸν ἐκ Θεοῦ καὶ ἀνθρώπων, καὶ οἰκείων καὶ ἐξωτερικῶν, ἐχθρῶν καὶ συμμάχων, καὶ οὔτε ἕνωσις ἔσται ταῦτα, οὔτε μὴ ἕνωσις, οὔτε ἔσται πλέον ἡ ἐκκλησία τῆς Κων)λεως ἐν λόγῳ τοῖς ὀρθοδόξοις ἀπὸ τοῦ νῦν, ἐὰν ταῦτα συμπερανθῶσιν οὕτως ὡς βούλεσθε· ἀλλ' ὅπερ καὶ ἀπ' ἀρχῆς ἐζήτησα ἐλθόντως τοῦ καρδιναλίου εὐθὺς, ἀλλ' οὐκ ἠθελήσατε, τοῦτο πάλιν λέγω καὶ συμβουλεύω· νὰ ἔλθω εἰς τὸ παλλάτιον, καὶ ἃς ἔνι αἱ τρεῖς τάξεις τῶν πολιτῶν, ἡ σύγκλητος, ἡ ἐκκλησία καὶ ἡ πολιτεία· ἃς ἔλθῃ καὶ ὁ καρδινάλιος, καὶ μετὰ Βενετίκων καὶ Γενουϊτῶν ὅσους βούλεται· καὶ νὰ δείξω, πῶς τοῦτο ὃ κατεπείγει ὁ καρδινάλιος ἔνι εἰς ὅλα τὰ μέρη ἀσύμφωρον. Τὸ δὲ συμφέρον ἐστὶν ὅτι τὰ μὲν ἐκκλησιαστικὰ νὰ μένωσιν οὕτως, καὶ νὰ μηδὲν κινηθῶσι ποσῶς, οὔτε εἰς ἓν μέρος, οὔτε εἰς ἄλλο ἐν τῇ τοιαύτῃ ταραχῇ τῶν πραγμάτων. Ἀλλ' ἐπειδὴ ἐπαγγέλονται αὐτοὶ βοηθῆσαι τῇ πόλει, εἴτε καὶ βοηθησάντων αὐτῶν, εἴτε καὶ μὴ βοηθησάντων, γένηται εἰρήνη εἰς τὴν πόλιν ἐξάπαντος νὰ γένηται ἓν τῶν δύο, ἢ ἐκεῖθεν νὰ ἔλθωσιν ἐδῶ ἀποκρισιάριοι μετὰ ἀδείας, νὰ ποιήσωμεν ἐνταῦθα σύνοδον, ἢ νὰ ὑπάγωσιν ἓξ πρόσωπα ἐκεῖ τὸ ἔλαττον, τῶν ἀξιολογοτέρων, ἐκκλησιαστικά, καὶ νὰ θεωρηθῶσιν τὰ περὶ τῆς ἑνώσεως, ἐκκλησιαστικῶς καὶ πνευματικῶς καὶ ἐλευθέρως. Εἰρήνης γὰρ πρότερον γενομένης, ἕξομεν καὶ συμβουλὴν καὶ γνώμην τῶν ἐγγὺς ὁμοδόξων, τῶν Ἁγιορειτῶν δηλονότι καὶ τῶν ἁγιωτάτων πατριαρχῶν· καὶ εἴ τι γενήσεται ἢ ἐκεῖ ἀπελθόντων ἡμῶν, ἢ ἐνταῦθα ἐλθόντων τινῶν ἐκεῖθεν, ὅ καὶ κάλ-

λιον, τοῦτο καὶ τῷ Θεῷ εὐαπόδεκτον ἔσται, μετὰ τῆς εἰς ἐκεῖνον ἐλπίδος γενόμενον ἐλευθέρως καὶ πνευματικῶς, καὶ τοῖς χριστιανοῖς ἀνεπίληπτον· καὶ νὰ μένῃ ἡ σύναξις ἡμῶν ἀρραγὴς ἕως τότε, καὶ ὁ βασιλεὺς ἀπροσπαθής. Οὕτω γάρ ἐνδέχεται νὰ γένηται καί τι καλόν, εἴπερ ὁ Θεός, ὦ τὰ παρὰ ἀνθρώποις ἀδύνατα δυνατά, ἐλεήσει τοὺς χριστιανοὺς καὶ χορηγήσει τότε ὁδὸν καὶ τρόπον ἀληθινῆς ἑνώσεως, εἰς ὃν καὶ οἱ ἀμφοτέρων τῶν μερῶν εἰδήμονες καὶ σοφοί, μετὰ ὀρθῆς συνειδήσεως ἐκ Θεοῦ κινηθέντες συμφωνήσουσιν. Καὶ ἐὰν τοῦτο θελήσητε, εἶπον, ἐγὼ νὰ ἔλθω καὶ νὰ τὰ εἴπω ταῦτα εἰς πλᾶτος, καὶ θαρρῶ, ὅτι θέλω τοὺς καταπείσειν, δείξας τὰς ἀπὸ τοῦ βουλεύματος αὐτῶν ἀνωφελείας καὶ βλάβας, καὶ τὰς ἀπὸ τοῦ ἐμοῦ βουλεύματος ὠφελείας. Καὶ πρὸς τούτοις, ἐπειδὴ ἐλπίζετε καὶ τινας ἐκεῖθεν βοηθείας, ὁ εὐσεβὴς οὗτος μετεωρισμὸς θέλει ἐλέγξειν καὶ τὰς ἐλπίδας ἐκείνας, καὶ οὐδὲ τῷ Θεῷ προσκρούσετε. Εἰ δέ, ἀφ' οὗ ποιήσετε τὸν λατινισμὸν ὃν βούλεσθε αἰσχρῶς, τότε εἰς ἀπάτην τῶν ἁπλουστέρων βάλλετε προσδιορισμοὺς τάχα καὶ λόγων ἐλπίδας καὶ συζητήσεων, τὸ μὲν συμπέρασμα τοῦ κακοῦ τούτου βουλεύματος ἔσται οἷον πολλάκις εἶπον. ***Ἐγὼ δέ, κἂν ὅλη ἡ Ἀνατολὴ ὑπάγῃ εἰς τὴν Δύσιν, οὐκ ἀπελεύσομαι· κἂν ὅλη ἡ Δύσις ἔλθῃ εἰς τὴν Ἀνατολήν, σιωπήσομαι, καὶ ἤδη ἀπὸ τοῦ νῦν σιωπῶ.*** Ἀφ' οὗ γὰρ γένησθε ὑμεῖς πάντες καὶ ἡ τάχα σύναξις ὑμῶν Λατῖνοι, μετά τινων καὶ ὑπὲρ τίνων καὶ τί νὰ λαλῇ πλέον ὁ ταπεινὸς Γεννάδιος ὑπὲρ τοῦ πατρίου δόγματος;

Αὐτὰ ἔγραφα τῷ μεγάλῳ δουκί, ὡς γινώσκουσιν οἱ ρηθέντες τιμιώτατοι, ἀλλὰ ἐν πλάτει πολλῷ· νῦν γάρ τὸν καρπὸν διεξῆλθον. Ἕνι δὲ καὶ παρ' ἐμοὶ τὸ ἴσον τοῦ γράμματος ἐκείνου, καὶ ὁ μέγας δούξ ἀντεμήνυσέ μοι οὐκ οἶδα ὅπως· «Μάτην κοπιᾶς, πάτερ, ὅτι τὸ μνημόσυνον τοῦ πάπα περιέστη νὰ δοθῇ, καὶ ἀδύνατον ἄλλως γίνεσθαι. Σῳζομένου γοῦν τοῦ ὅτι νὰ μηδὲν ἐμποδίσῃς διότι οὐδὲν ἀνύσεις, ἂν χρήζῃς νὰ ἔλθῃς νὰ συντύχῃς νὰ τὸ ποιήσωμεν». Καὶ ἐγὼ ἀντέγραψα αὐτῷ, ὅτι ἐγὼ σῳζομένου νὰ μηδὲν γένησθε Λατῖνοι, ἔλεγον· εἰ δὲ ἐκυρώσατε τὸ γενέσθαι. καὶ ἤδη ἐγένεσθε, ὅλα ἀργά, καὶ ἐν τούτῳ ἀναίτιος ἐγώ.

Λοιπόν, ὦ πατέρες ἅγιοι, οὐδὲ τοῦτο τὸ συμφέρον ἠμέλησα,

καὶ ὅλως οὐδὲν ἠμέλησα περὶ τῆς πίστεως καὶ τοῦ συμφέροντος, ὅπερ μάλιστα ἐκ τοῦ Θεοῦ ἐστι καὶ τῆς πρὸς αὐτὸν εὐσεβοῦς ἡμῶν εὐλαβείας. Ὁ Κύριος ἀνοίξειεν τοὺς ὀφθαλμοὺς πάντων· εἰ δὲ μή, κἂν ἡμᾶς, ἢ τοὺς ἀρίστους ἐξ ὑμῶν φυλάξειεν ἐν τῇ πίστει τῇ πατρίῳ βεβαίους, ἵνα δι' ὑμᾶς ὑπάρχῃ ἐλπὶς ἐκ Θεοῦ. Δι' εὐχῶν ἐλεήσαι καὶ ἐμὲ τὸν ἁμαρτωλόν. Ἀλλὰ πολλὰ λυποῦμαι. Μετάνοιαν. Ἀναγνωσθήτω φανερῶς εἰς ἐπήκοον πάντων.

† Τῇ κζ' τοῦ Νοεμβρίου τελευταῖον. Γεννάδιος ὁ ἁμαρτωλὸς τοῦ Θεοῦ δοῦλος καὶ ἐλάχιστος τοῖς εὐγενεστάτοις πολίταις τῆς Κων)λεως ἅπασιν, ἱερωμένοις καὶ κοσμικοῖς(1).

Γ' Γινώσκετε πάντες καλῶς τὴν παρὰ πάντα τὸν ἐμὸν βίον ἀναστροφὴν μεθ' ὑμῶν, οὔτε τῇ πόλει ὑμῶν βλαβερὰν γενομένην ἐν οὐδενὶ πράγματι, οὔτε ἑνὶ ἐξ ὑμῶν, εἰ μή τις ἀδίκως αἰτιᾶταί με, ἢ συκοφαντῶν καὶ μωραίνων. Εἰ δὲ καὶ ὠφέλησά τι ἢ ἐτίμησα τὴν πόλιν ταύτην καὶ ἰδίᾳ τινάς ἐκ τῆς πρός με δωρεᾶς τοῦ Θεοῦ, καὶ ἕως ἂν ἡ πόλις αὕτη σώζηται ἐκ Θεοῦ, μνήμην καὶ ἐμοῦ τινα ἕξει ἐπὶ πολλοῖς ἀγαθοῖς, ὁ Κύριος οἶδεν, ὃς καὶ ἀμείψεται. Καὶ νῦν δὲ διὰ τὸν τοῦ Κυρίου νόμον καὶ τὴν πρὸς τοὺς πολίτας ὑμᾶς ἀγάπην, εἰ καὶ βλασφημοῦσί τινες καθ' ἡμῶν, διότι οὐ θέλομεν χωρίζεσθαι τῆς πατρικῆς παραδόσεως καὶ συναναισχυντῆσαι τούτοις κατὰ τοῦ Θεοῦ, ἀλλ' ἡμεῖς αὐτοῖς εὐχόμεθα· ἀπειλοῦσιν, ἀλλ' ἡμεῖς οὐ μνησικακοῦμεν· φοβοῦσιν, ἀλλ' ἡμεῖς εἰς τὸν Θεὸν ἀτενίζομεν· διαβάλλουσιν ὅ,τι ἔτυχεν ἕκαστος, ἀλλ' ἡμεῖς αὐτοὺς ἀγαπῶμεν. Τί γάρ ἄλλο πρέπει ποιεῖν ἀνθρώπῳ φιλοσοφίας μὲν γεγευμένῳ, χριστιανῷ δὲ ἀληθεῖ τῇ ἐκ Θεοῦ χάριτι, μ ο ν α χ ῷ δ ὲ ἀ π ρ ο σ π α θ ε ῖ τ ο ῖ ς τ ο ῦ κ ό σ μ ο υ π ρ ά γ μ α σ ι καὶ ὄντι καὶ ἐσομένῳ τῇ τοῦ Θεοῦ βοηθείᾳ;

Ἀλλ' ἐπειδὴ εἰκὸς ἐστι τὴν πονηρίαν τινῶν καί τι ἀποκείμενον τῇ πόλει διὰ τὴν ἐμὴν ἁμαρτίαν προαχθῆναι καὶ εἰς φό-

1. Ταύτῃ τῇ ἡμέρᾳ διεδόθη τὸ παρὸν εἰς ὅλην τὴν πόλιν ἴσα πολλὰ μεταγραφέν, πρὸ ἓξ μηνῶν τῆς ἁλώσεως, ἐν κθ' τοῦ Μαΐου γενομένης.

